18. $\Delta\Lambda$] ΔA q. $\Delta\Lambda$] corr. ex ΛA m. 1 b. 19. τὸ ἄρα — 20. AB] om. q. 20. ΔB] Δ corr. ex A m. 1 b. 22. BA] (alt.) AB V, ΔB B, $B\Delta$ bq. 23. $B\Delta$ BV. 25. Seq. alia demonstratio et analysis propp. I—V in bq; u. app.

ς'.

Ἐὰν εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἔστω εὐθεῖα ῥητὴ ἡ *ΑΒ* καὶ τετμήσθω ἄκρον καὶ μέσον λόγον κατὰ τὸ *Γ*, καὶ ἔστω μεῖζον τμῆμα ἡ *ΑΓ*· λέγω, ὅτι ἑκατέρα τῶν *ΑΓ*, *ΓΒ* ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Ἐκβεβλήσθω γὰρ ἡ *ΒΑ*, καὶ κείσθω τῆς *ΒΑ* ἡμίσεια ἡ *ΑΔ*. ἐπεὶ οὖν εὐθεῖα ἡ *ΑΒ* τέτμηται ἄκρον καὶ μέσον λόγον κατὰ τὸ *Γ*, καὶ τῷ μείζονι τμήματι τῷ *ΑΓ* πρόσκειται ἡ *ΑΔ* ἡμίσεια οὖσα τῆς *ΑΒ*, τὸ ἄρα ἀπὸ *ΓΔ* τοῦ ἀπὸ *ΔΑ* πενταπλάσιόν ἐστιν. τὸ ἄρα ἀπὸ *ΓΔ* προς τὸ ἀπὸ *ΔΑ* λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν· σύμμετρον ἄρα τὸ ἀπὸ *ΓΔ* τῷ ἀπὸ *ΔΑ*. ῥητὸν δὲ τὸ ἀπὸ *ΔΑ*· ῥητὴ γάρ [ἐστιν] ἡ *ΔΑ* ἡμίσεια οὖσα τῆς *ΑΒ* ῥητῆς οὔσης· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ *ΓΔ*· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ *ΓΔ*. καὶ ἐπεὶ τὸ ἀπὸ *ΓΔ* πρὸς τὸ ἀπὸ *ΔΑ* λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, ἀσύμμετρος ἄρα μήκει ἡ *ΓΔ* τῇ *ΔΑ*· αἱ *ΓΔ*, *ΔΑ* ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ *ΑΓ*. πάλιν, ἐπεὶ ἡ *ΑΒ* ἄκρον καὶ μέσον λόγον τέτμηται,

---

Hanc prop. om. bq. 3. *ἐστιν*] mg. m. 1 V. 4. *ἀποτομή*] *ῥητή* B, corr. m. 2. 7. *ΑΓ*] *Γ* in ras. m. 1 P. *ΑΒ*, *ΒΓ* B, corr. m. 2. 9. *ἐκβεβλήσθω*] *κ* corr. ex *μ* m. 2 B. *τῆς*] *τῇ* B, corr. m. 2. 10. *τέτμηται*] om. V. 11. *λόγον τέτμηται* V. 13. *τῆς ΓΔ* V. *τῆς ΔΑ* V. *ἐστι* BV. 14. *τῆς ΓΔ* V. *πρός*] supra m. 1 P. *τό*] in ras. plurium litt. m. 1 P. *τῆς ΔΑ* V. 16. *ΑΔ* bis P. *ῥητή* V. *δέ*] in ras. V. *τό — γάρ*] om. V. *ἐστιν*] om. P. 18. *ἐστίν* B. 21. *εἰσιν* PB.

VI.[1])

Si recta rationalis secundum rationem extremam ac mediam diuiditur, utraque pars irrationalis est apotome quae uocatur.

Sit recta rationalis AB et secundum rationem extremam ac mediam in Γ diuidatur, et maior pars sit $A\Gamma$. dico, utramque $A\Gamma$, ΓB irrationalem esse apotomen quae uocatur.



producatur enim BA et ponatur $A\Delta = {}^1/_2 BA$. iam quoniam recta AB in Γ secundum rationem extremam ac mediam diuisa est, et parti maiori $A\Gamma$ adiecta est $A\Delta$ dimidia rectae AB, erit $\Gamma\Delta^2 = 5\Delta A^2$ [prop. I]. itaque $\Gamma\Delta^2$ ad ΔA^2 rationem habet quam numerus ad numerum. itaque $\Gamma\Delta^2$ et ΔA^2 commensurabilia sunt [X, 6]. sed ΔA^2 rationale est; nam ΔA, quae dimidia est rectae rationalis AB, rationalis est. itaque etiam $\Gamma\Delta^2$ rationale est [X def. 9]. quare $\Gamma\Delta$ et ipsa rationalis est. et quoniam $\Gamma\Delta^2$ ad ΔA^2 rationem non habet quam numerus quadratus ad numerum quadratum, $\Gamma\Delta$ et ΔA longitudine incommensurabiles sunt [X, 9]. itaque $\Gamma\Delta$, ΔA rationales sunt potentia solum commensurabiles. itaque apotome est $A\Gamma$ [X, 73]. rursus quoniam AB secundum rationem extremam ac mediam diuisa est, et maior pars est

1) In P in mg. add. m. 1: *τοῦτο τὸ θεώρημα ἐν τοῖς πλείστοις τῆς νέας ἐκδόσεως οὐ φέρεται, ἐν δὲ τοῖς τῆς παλαιᾶς εὑρίσκεται.* de q u. app.

καὶ τὸ μεῖζον τμῆμά ἐστιν η ΑΓ, τὸ ἄρα ὑπὸ ΑΒ, ΒΓ τῷ ἀπὸ ΑΓ ἴσον ἐστίν. τὸ ἄρα ἀπὸ τῆς ΑΓ ἀποτομῆς παρὰ τὴν ΑΒ ῥητὴν παραβληθὲν πλάτος ποιεῖ τὴν ΒΓ. τὸ δὲ ἀπὶ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην· ἀποτομὴ ἄρα πρώτη ἐστὶν ἡ ΓΒ. ἐδείχθη δὲ καὶ ἡ ΓΑ ἀποτομή.

Ἐὰν ἄρα εὐθεῖα ῥητὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή· ὅπερ ἔδει δεῖξαι.

ζʹ.

Ἐὰν πενταγώνου ἰσοπλεύρου αἱ τρεῖς γωνίαι ἤτοι αἱ κατὰ τὸ ἑξῆς ἢ αἱ μὴ κατὰ τὸ ἑξῆς ἴσαι ὦσιν, ἰσογώνιον ἔσται τὸ πεντάγωνον.

Πενταγώνου γὰρ ἰσοπλεύρου τοῦ ΑΒΓΔΕ αἱ τρεῖς γωνίαι πρότερον αἱ κατὰ τὸ ἑξῆς αἱ πρὸς τοῖς Α, Β, Γ ἴσαι ἀλλήλαις ἔστωσαν· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΑΓ, ΒΕ, ΖΔ. καὶ ἐπεὶ δύο αἱ ΓΒ, ΒΑ δυσὶ ταῖς ΒΑ, ΑΕ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ ὑπὸ ΓΒΑ γωνίᾳ τῇ ὑπὸ ΒΑΕ ἐστιν ἴση, βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΕ ἐστιν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΕ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΒΕΑ, ἡ δὲ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΓΑΒ· ὥστε καὶ πλευρὰ ἡ ΑΖ πλευρᾷ τῇ ΒΖ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ὅλη ἡ ΑΓ ὅλῃ τῇ ΒΕ ἴση· καὶ λοιπὴ

---

1. Ante *καί* add. *κατὰ τὸ Γ* V. *ΑΒΓ* V. 2. *ἐστί* BV. 4. *ἀποτομῆς*] *ἀπο-* supra scr. m. 2 B. 6. *ΓΑ*] *ΑΓ* BV. 7. *ῥητή* — 9. *δεῖξαι*]: ∼ BV. 8. *ἄλογον* P. Seq. in

$A\Gamma$, erit $AB \times B\Gamma = A\Gamma^2$ [VI def. 3. VI, 17]. itaque quadratum apotomes $A\Gamma$ ad AB rationalem adplicatum latitudinem efficit $B\Gamma$. quadratum autem apotomes ad rationalem adplicatum latitudinem efficit apotomen primam [X, 97]. itaque ΓB apotome est prima. demonstrauimus autem, etiam ΓA apotomen esse.

Ergo si recta rationalis secundum rationem extremam ac mediam diuiditur, utraque pars irrationalis est apotome quae uocatur; quod erat demonstrandum.

VII.

Si pentagoni aequilateri tres anguli, siue deinceps positi sunt siue non deinceps, inter se aequales sunt, pentagonum aequiangulum erit.

Nam pentagoni aequilateri $AB\Gamma\Delta E$ prius, qui deinceps positi sunt, tres anguli A, B, Γ inter se aequales sint. dico, pentagonum $AB\Gamma\Delta E$ aequiangulum esse.

ducantur enim $A\Gamma$, BE, $Z\Delta$. et quoniam duo latera ΓB, BA duobus lateribus BA, AE singula singulis aequalia sunt, et $\angle\, \Gamma BA = BAE$, erit $A\Gamma = BE$ et $\triangle\, AB\Gamma = ABE$, et reliqui anguli reliquis angulis aequales erunt, sub quibus aequalia latera subtendunt [I, 4], $\angle\, B\Gamma A = BEA$, $\angle\, ABE = \Gamma AB$. quare etiam $AZ = BZ$ [I, 6]. demonstrauimus autem, esse etiam $A\Gamma = BE$. itaque etiam $Z\Gamma = ZE$.

P altera demonstr. prop. V et analysis prop. I—V, in BV analysis prop. I—V; u. app. 10. ζ'] om. b, qui hinc numeros propp. om. 12. ἤτοι] ἢ V. ἢ αἱ — ἑξῆς] om. q. ἢ αἱ] in ras. m. 1 B. 16. ἐστιν P. 18. -χθωσαν — 19. AE] mg. m. 2 B, sed etiam m. 1 in textu, om. BE — ΓB. 19. δύο] αἱ δύο P. 22. ἴσον ἐστί q. 25. $B\Gamma A$] ΓA in ras. V, $BA\Gamma$ B.

ἄρα ἡ ΖΓ λοιπῇ τῇ ΖΕ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΓΔ τῇ ΔΕ ἴση. δύο δὴ αἱ ΖΓ, ΓΔ δυσὶ ταῖς ΖΕ, ΕΔ ἴσαι εἰσίν· καὶ βάσις αὐτῶν κοινὴ ἡ ΖΔ· γωνία ἄρα ἡ ὑπὸ ΖΓΔ γωνίᾳ τῇ ὑπὸ ΖΕΔ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΑΕΒ ἴση· καὶ ὅλη ἄρα ἡ ὑπὸ ΒΓΔ ὅλῃ τῇ ὑπὸ ΑΕΔ ἴση. ἀλλ' ἡ ὑπὸ ΒΓΔ ἴση ὑπόκειται ταῖς πρὸς τοῖς Α, Β γωνίαις· καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα ταῖς πρὸς τοῖς Α, Β γωνίαις ἴση ἐστίν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ὑπὸ ΓΔΕ γωνία ἴση ἐστὶ ταῖς πρὸς τοῖς Α, Β, Γ γωνίαις· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἀλλὰ δὴ μὴ ἔστωσαν ἴσαι αἱ κατὰ τὸ ἑξῆς γωνίαι, ἀλλ' ἔστωσαν ἴσαι αἱ πρὸς τοῖς Α, Γ, Δ σημείοις· λέγω, ὅτι καὶ οὕτως ἰσογώνιόν ἐστι τὸ ΑΒΓΔΕ πεντάγωνον.

Ἐπεζεύχθω γὰρ ἡ ΒΔ. καὶ ἐπεὶ δύο αἱ ΒΑ, ΑΕ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσὶ καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΒΔ ἴση ἐστίν, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΕΒ γωνία τῇ ὑπὸ ΓΔΒ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΒΕΔ γωνία τῇ ὑπὸ ΒΔΕ ἴση, ἐπεὶ καὶ πλευρὰ ἡ ΒΕ πλευρᾷ τῇ ΒΔ ἐστιν ἴση. καὶ ὅλη ἄρα ἡ ὑπὸ ΑΕΔ γωνία ὅλῃ τῇ ὑπὸ ΓΔΕ ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ ΓΔΕ ταῖς πρὸς τοῖς Α, Γ γωνίαις ὑπόκειται ἴση·

---

1. ἐστιν ἴση — 3. ΕΔ] bis b. 1. ἔστιν B. 3. εἰσί Vb. 5. καί] om. BV. 6. ἐστιν ἴση BV. ἀλλά BVq. 7. ΒΓΔ] sic, sed mg. m. 1 ΓΔΕ b. γωνίαις] om. BVb. 8. τοῖς] τούς q. Post Β add. Γ q et supra m. 1 V. 10. Γ] om. B, supra m. 1 V. 11. ἐστίν B, om. V.

uerum etiam $\Gamma\Delta = \Delta E$. itaque duo latera $Z\Gamma$, $\Gamma\Delta$ duobus lateribus ZE, $E\Delta$ aequalia sunt; et basis eorum communis est $Z\Delta$. itaque $\angle Z\Gamma\Delta = ZE\Delta$ [I, 8]. demonstrauimus autem, esse etiam $\angle B\Gamma A = AEB$. quare etiam $\angle B\Gamma\Delta = AE\Delta$. supposuimus autem, angulum $B\Gamma\Delta$ angulis ad A, B positis aequalem esse. itaque etiam $\angle AE\Delta$ angulis ad A, B positis aequalis est. iam similiter demonstrabimus, etiam angulum $\Gamma\Delta E$ angulis ad A, B, Γ positis aequalem esse. ergo pentagonum $AB\Gamma\Delta E$ aequiangulum est.



iam uero anguli deinceps positi aequales ne sint, sed aequales sint anguli ad puncta A, Γ, Δ positi. dico, sic quoque pentagonum aequiangulum esse.

ducatur enim $B\Delta$. et quoniam duo latera BA, AE duobus lateribus $B\Gamma$, $\Gamma\Delta$ aequalia sunt et aequales angulos comprehendunt, erit $BE = B\Delta$ et $\triangle ABE = B\Gamma\Delta$, et reliqui anguli reliquis angulis aequales erunt, sub quibus aequalia latera subtendunt [I, 4]. itaque $\angle AEB = \Gamma\Delta B$. uerum etiam $\angle BE\Delta = B\Delta E$, quoniam etiam $BE = B\Delta$ [I, 6]. itaque $\angle AE\Delta = \Gamma\Delta E$. supposuimus autem, angulum $\Gamma\Delta E$ angulis ad A, Γ positis aequalem esse. ergo etiam $\angle AE\Delta$ angulis ad

14. ἔστιν B. 16. ἐπεζεύχθωσαν B. ἡ] αἱ B. 17. εἰσίν PB. περιέχουσι PVbq. 18. ἐστί Vq, comp. b. 19. ABE ἄρα bq. ἐστί PVq, comp. b. 21. ἐστίν] om. V. 22. AEB — $\Gamma\Delta B$] $AB\Gamma$ P. ἔστιν B. 24. καί] om. BV.

καὶ ἡ ὑπὸ ΑΕΔ ἄρα γωνία ταῖς πρὸς τοῖς Α, Γ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΒΓ ἴση ἐστὶ ταῖς πρὸς τοῖς Α, Γ, Δ γωνίαις. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓΔΕ πεντάγωνον· ὅπερ ἔδει δεῖξαι.

η'.

Ἐὰν πενταγώνου ἰσοπλεύρου καὶ ἰσογωνίου τὰς κατὰ τὸ ἑξῆς δύο γωνίας ὑποτείνωσιν εὐθεῖαι, ἄκρον καὶ μέσον λόγον τέμνουσιν ἀλλήλας, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

Πενταγώνου γὰρ ἰσοπλεύρου καὶ ἰσογωνίου τοῦ ΑΒΓΔΕ δύο γωνίας τὰς κατὰ τὸ ἑξῆς τὰς πρὸς τοῖς Α, Β ὑποτεινέτωσαν εὐθεῖαι αἱ ΑΓ, ΒΕ τέμνουσαι ἀλλήλας κατὰ τὸ Θ σημεῖον· λέγω, ὅτι ἑκατέρα αὐτῶν ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ σημεῖον, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ.

Περιγεγράφθω γὰρ περὶ τὸ ΑΒΓΔΕ πεντάγωνον κύκλος ὁ ΑΒΓΔΕ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΑ, ΑΒ δυσὶ ταῖς ΑΒ, ΒΓ ἴσαι εἰσὶ καὶ γωνίας ἴσας περιέχουσιν, βάσις ἄρα ἡ ΒΕ βάσει τῇ ΑΓ ἴση ἐστίν, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΑΒΕ· διπλῆ

---

1. γωνία ἄρα bq. τοῖς] ταῖς b. 2. ἐστίν] ἐστί Vbq. ἐστί] ἐστίν B. 3. τοῖς] τοι P. ἐστί] om. V. 4. ὅπερ ἔδει δεῖξαι] om. Bbq. 7. ὑποτείνουσιν Pq. 9. ἔσται q. 16. εἰσίν B, εἰσί V. 20. εἰσίν PB. περιέχουσι Vbq. 21. ἐστί PVq, comp. b. 22. ἐστί PVbq. 23. ἔσονται] εἰσίν q. 25. ἴση — p. 270, 1 ΒΑΘ] sic b, sed mg. m. 1:

A, Γ positis aequalis est. eadem de causa etiam $\angle AB\Gamma$ angulis ad A, Γ, Δ positis aequalis est. ergo pentagonum $AB\Gamma\Delta E$ aequiangulum est; quod erat demonstrandum.

VIII.

Si in pentagono aequilatero et aequiangulo sub duobus angulis deinceps positis rectae subtendunt, inter se secundum rationem extremam ac mediam secant, et partes earum maiores aequales sunt lateri pentagoni.

Nam in pentagono aequilatero et aequiangulo $AB\Gamma\Delta E$ sub duobus angulis ad A, B deinceps positis rectae $A\Gamma$, BE subtendant inter se secantes in puncto Θ. dico, utramque secundum rationem extremam ac mediam sectam esse in puncto Θ, et partes earum maiores aequales esse lateri pentagoni.



circumscribatur enim circum $AB\Gamma\Delta E$ pentagonum circulus $AB\Gamma\Delta E$ [IV, 14]. et quoniam duo latera EA, AB duobus AB, $B\Gamma$ aequalia sunt et aequales angulos comprehendunt, erit $BE = A\Gamma$, et $\triangle ABE = AB\Gamma$, et reliqui anguli reliquis aequales erunt singuli singulis, sub quibus aequalia latera subtendunt [I, 4]. itaque $\angle BA\Gamma = ABE$. quare $\angle A\Theta E$

γϱ. ἴση ἄϱα ἡ ὑπὸ ABE καὶ ἡ ΑΘΕ ἄϱα διπλῆ ἔστι τῆς ΒΑΘ γωνίας ἐκτὸς γάϱ ἐστι τοῦ ΑΒΘ τϱιγώνου. 25. ἐστίν] om. Vq. γωνία] om. q. διπλῆ ἄϱα] om. q.

ἄρα ἡ ὑπὸ ΑΘΕ τῆς ὑπὸ ΒΑΘ. ἔστι δὲ καὶ ἡ ὑπὸ ΕΑΓ τῆς ὑπὸ ΒΑΓ διπλῆ, ἐπειδήπερ καὶ περιφέρεια ἡ ΕΔΓ περιφερείας τῆς ΓΒ ἐστι διπλῆ· ἴση ἄρα η ὑπὸ ΘΑΕ γωνία τῇ ὑπὸ ΑΘΕ· ὥστε καὶ ἡ ΘΕ εὐθεῖα τῇ ΕΑ, τουτέστι τῇ ΑΒ ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΑ εὐθεῖα τῇ ΑΕ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΑΕΒ. ἀλλὰ ἡ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΒΑΘ ἐδείχθη ἴση· καὶ ἡ ὑπὸ ΒΕΑ ἄρα τῇ ὑπὸ ΒΑΘ ἐστιν ἴση. καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε ΑΒΕ καὶ τοῦ ΑΒΘ ἐστιν ἡ ὑπὸ ΑΒΕ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΑΕ γωνία λοιπῇ τῇ ὑπὸ ΑΘΒ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΑΒΘ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΕΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΘ. ἴση δὲ ἡ ΒΑ τῇ ΕΘ· ὡς ἄρα ἡ ΒΕ πρὸς τὴν ΕΘ, οὕτως ἡ ΕΘ πρὸς τὴν ΘΒ. μείζων δὲ ἡ ΒΕ τῆς ΕΘ· μείζων ἄρα καὶ ἡ ΕΘ τῆς ΘΒ. ἡ ΒΕ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὸ μεῖζον τμῆμα τὸ ΘΕ ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΑΓ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Θ, καὶ τὸ μεῖζον αὐτῆς τμῆμα ἡ ΓΘ ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ· ὅπερ ἔδει δεῖξαι.

θ'.

Ἐὰν ἡ τοῦ ἑξαγώνου πλευρὰ καὶ ἡ τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων συντεθῶσιν, ἡ ὅλη εὐθεῖα ἄκρον

---

1. Post ΑΘΕ add. *ἄρα διπλῆ ἐστι* q. Post ΒΑΘ add. *γωνίας· ἐκτὸς γάρ ἐστι τοῦ ΑΒΘ τριγώνου* Vq, B m. 2. *ἔστιν* PB. 2. *ἐπειδή* BV. *καί*] supra m. 2 B. 3. ΕΔΓ] ΕΔΓ *τῆς* q. *ἐστιν* B. 4. ΘΑΕ] ΑΘΕ q, ΘΑΕ" b.

$= 2BA\Theta$ [I, 32]. uerum etiam $\angle EA\Gamma = 2BA\Gamma$, quoniam arcus $E\Delta\Gamma$ duplo maior est arcu ΓB [III, 28. VI, 33]. itaque $\angle \Theta AE = A\Theta E$. quare etiam $\Theta E = EA = AB$ [I, 6]. et quoniam $BA = AE$, erit etiam $\angle ABE = AEB$ [I, 5]. demonstrauimus autem, esse $\angle ABE = BA\Theta$. quare etiam $\angle BEA = BA\Theta$. et duorum triangulorum ABE, $AB\Theta$ communis est $\angle ABE$. itaque $\angle BAE = A\Theta B$ [I, 32]. quare trianguli ABE, $AB\Theta$ aequianguli sunt. erit igitur [VI, 4] $EB : BA = AB : B\Theta$. sed $BA = E\Theta$. itaque $BE : E\Theta = E\Theta : \Theta B$. uerum $BE > E\Theta$. itaque etiam $E\Theta > \Theta B$ [V, 14]. ergo BE in Θ secundum rationem extremam ac mediam diuisa est, et maior pars ΘE lateri pentagoni aequalis est. similiter demonstrabimus, etiam $A\Gamma$ in Θ secundum rationem extremam ac mediam diuisam esse, et maiorem eius partem $\Gamma\Theta$ lateri pentagoni aequalem esse; quod erat demonstrandum.

IX.

Lateribus hexagoni et decagoni in eundem circulum inscriptorum coniunctis tota recta secundum rationem

---

IX. Theon in Ptolem. p. 181.

$A\Theta E$] $EA\Theta$ q, $A\Theta E'$ b. 5. τουτέστιν B. 6. BA] AB bq. ἐστί] om. q, ἐστίν B. 7. τῇ ὑπὸ AEB] mg. m. 2 B. ἀλλ' bq. $BA\Theta$] $AB\Theta$ B, corr. m. 2. 8. ἄρα] om. P, ἄρα γωνία V. ἐστιν] om. V. 9. ἴση] in ras. m. 1 b. 10. BAE] e corr. V. 11. $AB\Theta$ b. ἐστί] om. V. 12. $AB\Theta$] $B\Theta$ in ras. V. 16. ἄρα] ἐστί comp. V. $E\Theta$] corr. in EB b et B m. 2. 18. ἐστίν PB. 19. ΓA q. 21. ἐστίν B. 25. τῶν] corr. ex τόν m. 2 P. τόν] corr. ex τῶν m. 2 P. αὐτόν] om. b.

καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ τοῦ ἑξαγώνου πλευρά.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ τῶν εἰς τὸν ΑΒΓ κύκλον ἐγγραφομένων σχημάτων, δεκαγώνου μὲν ἔστω πλευρὰ ἡ ΒΓ, ἑξαγώνου δὲ ἡ ΓΔ, καὶ ἔστωσαν ἐπ' εὐθείας· λέγω, ὅτι ἡ ὅλη εὐθεῖα ἡ ΒΔ ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμά ἐστιν ἡ ΓΔ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Ε σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ, ΕΔ, καὶ διήχθω ἡ ΒΕ ἐπὶ τὸ Α. ἐπεὶ δεκαγώνου ἰσοπλεύρου πλευρά ἐστιν ἡ ΒΓ, πενταπλασίων ἄρα ἡ ΑΓΒ περιφέρεια τῆς ΒΓ περιφερείας· τετραπλασίων ἄρα ἡ ΑΓ περιφέρεια τῆς ΓΒ. ὡς δὲ ἡ ΑΓ περιφέρεια πρὸς τὴν ΓΒ, οὕτως ἡ ὑπὸ ΑΕΓ γωνία πρὸς τὴν ὑπὸ ΓΕΒ· τετραπλασίων ἄρα ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΓΕΒ. καὶ ἐπεὶ ἴση ἡ ὑπὸ ΕΒΓ γωνία τῇ ὑπὸ ΕΓΒ, ἡ ἄρα ὑπὸ ΑΕΓ γωνία διπλασία ἐστὶ τῆς ὑπὸ ΕΓΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΓ εὐθεῖα τῇ ΓΔ· ἑκατέρα γὰρ αὐτῶν ἴση ἐστὶ τῇ τοῦ ἑξαγώνου πλευρᾷ τοῦ εἰς τὸν ΑΒΓ κύκλον [ἐγγραφομένου]· ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΓΕΔ γωνία τῇ ὑπὸ ΓΔΕ γωνίᾳ· διπλασία ἄρα ἡ ὑπὸ ΕΓΒ γωνία τῆς ὑπὸ ΕΔΓ. ἀλλὰ τῆς ὑπὸ ΕΓΒ διπλασία ἐδείχθη ἡ ὑπὸ ΑΕΓ· τετραπλασία ἄρα ἡ ὑπὸ ΑΕΓ τῆς ὑπὸ ΕΔΓ. ἐδείχθη δὲ καὶ τῆς ὑπὸ ΒΕΓ τετραπλασία ἡ ὑπὸ ΑΕΓ· ἴση ἄρα ἡ ὑπὸ ΕΔΓ

1. *καί*] (prius) corr. ex *κατά* m. rec. P. 7. Post *τέτμηται* add. *κατὰ τὸ Γ* V, B m. 2. 11. *ΕΒ* b. Ante *ἐπεί* add. *καί* BVq, P m. 2. *τοῦ δεκαγ.* q. 12. *ΑΓΒ*] in ras. m. 2 V, *Β* add. m. rec. b. 13. *ΒΓ* — 14. *τῆς*] om. b. 15. *ΑΕΓ*] *Γ* corr. ex *Β* m. rec. b. 16. *ἄρα ἐστίν* P. 17. *ἴση ἐστίν* P. 18. *ΑΕΓ*] *ΕΑΓ* B, corr. m. 2. *διπλασίων* V.

extremam ac mediam diuisa est, et maior eius pars latus est hexagoni.

Sit circulus $AB\Gamma$, et figurarum in circulo $AB\Gamma$ inscriptarum decagoni latus sit $B\Gamma$, hexagoni autem $\Gamma\Delta$, et in eadem recta positae sint. dico, totam rectam $B\Delta$ secundum rationem extremam ac mediam diuisam esse, et maiorem partem esse $\Gamma\Delta$.



sumatur enim centrum circuli E punctum [III, 1], et ducantur EB, $E\Gamma$, $E\Delta$, et BE ad A producatur. quoniam $B\Gamma$ latus est decagoni aequilateri, arcus $A\Gamma B$ quintuplo maior est arcu $B\Gamma$. itaque arcus $A\Gamma$ quadruplo maior est arcu ΓB. sed ut arcus $A\Gamma$ ad arcum ΓB, ita angulus $AE\Gamma$ ad angulum ΓEB [VI, 33]. itaque $\angle AE\Gamma = 4\Gamma EB$. et quoniam $\angle EB\Gamma = E\Gamma B$ [I, 5], erit $\angle AE\Gamma = 2E\Gamma B$ [I, 32]. et quoniam $E\Gamma = \Gamma\Delta$ [IV, 15 coroll.] (nam utraque lateri hexagoni in circulo $AB\Gamma$ inscripti aequalis est), erit etiam $\angle \Gamma E\Delta = \Gamma\Delta E$ [I,5]. itaque $\angle E\Gamma B = 2E\Delta\Gamma$ [I, 32]. demonstrauimus autem, esse etiam $\angle AE\Gamma = 2E\Gamma B$. itaque $\angle AE\Gamma = 4E\Delta\Gamma$. demonstrauimus

---

ἐστίν B. 19. $E\Gamma$] corr. ex $B\Gamma$ m. 2 B. τῇ] τῆς b. 20. ἐστίν B. 21. ἐγγραφομένου] om. P. ἐστίν B. ἡ γωνία ἡ V. 22. γωνίᾳ] om. V. διπλῆ b. 23. $E\Delta\Gamma$ γωνίας b. $E\Gamma B$] B in ras. V; supra scr. $E\Delta\Gamma$ m. 2 B. 24. $AE\Gamma$] A corr. ex Δ b. 25. $AE\Gamma$] A corr. ex Δ m. 2 P.

τῇ ὑπὸ ΒΕΓ. κοινὴ δὲ τῶν δύο τριγώνων, τοῦ τε ΒΕΓ καὶ τοῦ ΒΕΔ, ἡ ὑπὸ ΕΒΔ γωνία· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΔ τῇ ὑπὸ ΕΓΒ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΕΒΔ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΕΒ πρὸς τὴν ΒΓ. ἴση δὲ ἡ ΕΒ τῇ ΓΔ. ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΒ. μείζων δὲ ἡ ΒΔ τῆς ΔΓ· μείζων ἄρα καὶ ἡ ΔΓ τῆς ΓΒ. ἡ ΒΔ ἄρα εὐθεῖα ἄκρον καὶ μέσον λόγον τέτμηται [κατὰ τὸ Γ], καὶ τὸ μεῖζον τμῆμα αὐτῆς ἐστιν ἡ ΔΓ· ὅπερ ἔδει δεῖξαι.

ι'.

Ἐαν εἰς κύκλον πεντάγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ πενταγώνου πλευρὰ δύναται τήν τε τοῦ ἑξαγώνου καὶ την τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων.

Ἔστω κύκλος ὁ ΑΒΓΔΕ, καὶ εἰς τὸν ΑΒΓΔΕ κύκλον πεντάγωνον ἰσόπλευρον ἐγγεγράφθω τὸ ΑΒΓΔΕ. λέγω, ὅτι ἡ τοῦ ΑΒΓΔΕ πενταγώνου πλευρὰ δύναται τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου πλευρὰν τῶν εἰς τὸν ΑΒΓΔΕ κύκλον ἐγγραφομένων.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Ζ σημεῖον, καὶ ἐπιζευχθεῖσα ἡ ΑΖ διήχθω ἐπὶ τὸ Η σημεῖον, καὶ ἐπεζεύχθω ἡ ΖΒ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΒ κάθετος ἤχθω ἡ ΖΘ, καὶ διήχθω ἐπὶ τὸ Κ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΚΒ, καὶ πάλιν ἀπὸ τοῦ Ζ ἐπὶ τὴν ΑΚ κάθετος ἤχθω ἡ ΖΛ, καὶ διήχθω ἐπὶ το

2. ΒΕΓ] ΒΕΔ P. ΒΕΔ] ΒΕΓ P. 4. ἐστί] om. V. 5. ΔΒ] ΒΔ B. 6. ΓΔ] Γ supra scr. m. 1 V, ΔΓ P. 7. τὴν ΓΒ] ΓΒ Bq. 8. ΔΓ] (prius) ΑΓ b, ΓΔ B. 9. ἄρα εὐθεῖα]

autem, esse etiam $AE\Gamma = 4BE\Gamma$. ergo $\angle E\Delta\Gamma = BE\Gamma$. duorum autem triangulorum $BE\Gamma$ et $BE\Delta$ communis est angulus $EB\Delta$. itaque etiam $\angle BE\Delta = E\Gamma B$ [I, 32]. itaque trianguli $EB\Delta$, $EB\Gamma$ aequianguli sunt. quare erit [VI, 4] $\Delta B : BE = EB : B\Gamma$. uerum $EB = \Gamma\Delta$. itaque $B\Delta : \Delta\Gamma = \Delta\Gamma : \Gamma B$. uerum $B\Delta > \Delta\Gamma$. itaque etiam $\Delta\Gamma > \Gamma B$ [V, 14]. ergo recta $B\Delta$ secundum rationem extremam ac mediam diuisa est, et maior pars eius est $\Delta\Gamma$; quod erat demonstrandum.

X.

Si in circulum pentagonum aequilaterum inscribitur, quadratum lateris pentagoni aequale est quadratis laterum hexagoni et decagoni in eodem circulo inscriptorum.

Sit circulus $AB\Gamma\Delta E$, et in circulum $AB\Gamma\Delta E$ pentagonum aequilaterum inscribatur $AB\Gamma\Delta E$. dico, quadratum lateris pentagoni $AB\Gamma\Delta E$ aequale esse quadratis laterum hexagoni et decagoni in circulo $AB\Gamma\Delta E$ inscriptorum.

sumatur enim centrum circuli Z punctum [III, 1], et ducta AZ ad H punctum producatur, et ducatur ZB, et a Z ad AB perpendicularis ducatur $Z\Theta$, et ad K producatur, et ducantur AK, KB, et rursus a Z ad AK perpendicularis ducatur $Z\Lambda$, et ad M pro-

X. Pappus V p. 440, 13. Theon in Ptolem. p. 181.

mg. m. 1 V. 10. *κατὰ τὸ* Γ] om. P. *αὐτῆς τμῆμα* P. *αὕτη* q. 11. $\Delta\Gamma$] Δ corr. ex Γ m. 1 b. *ὅπερ ἔδει δεῖξαι*] om. q, o)— b; *ὅπερ ἔδει*: ~ B. 15. *τῶν*] om. V. 17. *εἰς — κύκλον*] om. q, *εἰς αὐτόν* V, *κύκλον* om. Bb. 24. *καί — Z*] bis b.

Μ, καὶ ἐπεζεύχθω ἡ ΚΝ. ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΗ περιφέρεια τῇ ΑΕΔΗ περιφερείᾳ, ὧν ἡ ΑΒΓ τῇ ΑΕΔ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΓΗ περιφέρεια λοιπῇ τῇ ΗΔ ἐστιν ἴση. πενταγώνου δὲ ἡ ΓΔ· δεκαγώνου ἄρα ἡ ΓΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΖΑ τῇ ΖΒ, καὶ κάθετος ἡ ΖΘ, ἴση ἄρα καὶ ἡ ὑπὸ ΑΖΚ γωνία τῇ ὑπὸ ΚΖΒ. ὥστε καὶ περιφέρεια ἡ ΑΚ τῇ ΚΒ ἐστιν ἴση· διπλῆ ἄρα ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας· δεκαγώνου ἄρα πλευρά ἐστιν ἡ ΑΚ εὐθεῖα. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΑΚ τῆς ΚΜ ἐστι διπλῆ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΒ περιφέρεια τῆς ΒΚ περιφερείας, ἴση δὲ ἡ ΓΔ περιφέρεια τῇ ΑΒ περιφερείᾳ, διπλῆ ἄρα καὶ ἡ ΓΔ περιφέρεια τῆς ΒΚ περιφερείας. ἔστι δὲ ἡ ΓΔ περιφέρεια καὶ τῆς ΓΗ διπλῆ· ἴση ἄρα ἡ ΓΗ περιφέρεια τῇ ΒΚ περιφερείᾳ. ἀλλὰ ἡ ΒΚ τῆς ΚΜ ἐστι διπλῆ, ἐπεὶ καὶ ἡ ΚΑ· καὶ ἡ ΓΗ ἄρα τῆς ΚΜ ἐστι διπλῆ. ἀλλὰ μὴν καὶ ἡ ΓΒ περιφέρεια τῆς ΒΚ περιφερείας ἐστὶ διπλῆ· ἴση γὰρ ἡ ΓΒ περιφέρεια τῇ ΒΑ. καὶ ὅλη ἄρα ἡ ΗΒ περιφέρεια τῆς ΒΜ ἐστι διπλῆ· ὥστε καὶ γωνία ἡ ὑπὸ ΗΖΒ γωνίας τῆς ὑπὸ ΒΖΜ [ἐστι] διπλῆ. ἔστι δὲ ἡ ὑπὸ ΗΖΒ καὶ τῆς ὑπὸ ΖΑΒ διπλῆ· ἴση γὰρ ἡ ὑπὸ ΖΑΒ τῇ ὑπὸ ΑΒΖ. καὶ ἡ ὑπὸ ΒΖΝ ἄρα τῇ ὑπὸ ΖΑΒ ἐστιν ἴση. κοινὴ δὲ τῶν δύο τριγώνων, τοῦ τε ΑΒΖ καὶ τοῦ ΒΖΝ, ἡ

---

1. καὶ ἐπεὶ BV. 4. ΔΗ V. δε-] supra m. 1 b. 5. ἄρα] ἔτι V. 6. ΑΖΚ] Κ supra m. 1 V. 7. ΚΖΒ γωνίᾳ q. 9. ΑΚ] Α corr. ex Β V, ΒΚ P. δεκαγώνου — 11. περιφερείας] bis V (in rep. ΑΚ). 9. διά] τῆς ΒΚ. διά q. 11. ΚΒ B. 12. ΓΔ] corr. ex ΓΒ m. 2 B. 13. ἔστιν B. 16. ἔστιν B. ἄρα] om. b. 17. ἔστιν B. 18. ἐστίν B. 19. τῇ] corr. ex τῆς B. ΒΑ περιφερείᾳ V. 20. ΗΞΒ q. 21. Β''Ζ'Μ b. ἐστι] om. P; ἐστιν B. ἔστιν B. 22. ΑΒΖ]

ducatur, et ducatur KN. quoniam arcus $AB\Gamma H$ arcui $AE\Delta H$ aequalis est, quorum $AB\Gamma = AE\Delta$, erit $\Gamma H = H\Delta$. $\Gamma\Delta$ autem pentagoni est; itaque ΓH est decagoni. et quoniam $ZA = ZB$, et $Z\Theta$ perpendicularis est, erit etiam $\angle AZK = KZB$ [I, 5. I, 26]. quare etiam arcus AK arcui KB aequalis est [III, 26]. itaque



arcus AB duplo maior est arcu BK. quare recta AK latus decagoni est. eadem de causa etiam AK duplo maior est arcu KM. et quoniam arcus AB duplo maior est arcu BK, et arcus $\Gamma\Delta$ arcui AB aequalis, etiam arcus $\Gamma\Delta$ arcu BK duplo maior erit. uerum arcus $\Gamma\Delta$ etiam arcu ΓH duplo maior est. itaque arcus ΓH arcui BK aequalis est. sed arcus BK arcu KM duplo maior est, quoniam arcus KA eo duplo est maior. itaque etiam ΓH arcu KM duplo maior est. uerum etiam arcus ΓB arcu BK duplo maior est; nam arcus ΓB arcui BA aequalis est. quare totus arcus HB arcu BM duplo maior est. itaque etiam $\angle HZB = 2BZM$ [VI, 33]. uerum etiam $\angle HZB = 2ZAB$; nam $ZAB = ABZ$. itaque $\angle BZN = ZAB$. duorum autem triangulorum ABZ, BZN communis

corr. ex AZB m. rec. b. 23. BZN] N corr. ex H m. 2 B; ZBN b, corr. m. rec. 24. BZN] N corr. ex H m. 2 B.

ὑπὸ *ΑΒΖ* γωνία· λοιπὴ ἄρα ἡ ὑπὸ *ΑΖΒ* λοιπῇ τῇ ὑπὸ *ΒΝΖ* ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΑΒΖ* τρίγωνον τῷ *ΒΖΝ* τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ *ΑΒ* εὐθεῖα πρὸς τὴν *ΒΖ*, οὕτως ἡ *ΖΒ* πρὸς τὴν *ΒΝ*· τὸ ἄρα ὑπὸ τῶν *ΑΒΝ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΒΖ*. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ *ΑΛ* τῇ *ΛΚ*, κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ *ΛΝ*, βάσις ἄρα ἡ *ΚΝ* βάσει τῇ *ΑΝ* ἐστιν ἴση· καὶ γωνία ἄρα ἡ ὑπὸ *ΛΚΝ* γωνίᾳ τῇ ὑπὸ *ΛΑΝ* ἐστιν ἴση. ἀλλὰ ἡ ὑπὸ *ΛΑΝ* τῇ ὑπὸ *ΚΒΝ* ἐστιν ἴση· καὶ ἡ ὑπὸ *ΛΚΝ* ἄρα τῇ ὑπὸ *ΚΒΝ* ἐστιν ἴση. καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε *ΑΚΒ* καὶ τοῦ *ΑΚΝ* ἡ πρὸς τῷ *Α*. λοιπὴ ἄρα ἡ ὑπὸ *ΑΚΒ* λοιπῇ τῇ ὑπὸ *ΚΝΑ* ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΚΒΑ* τρίγωνον τῷ *ΚΝΑ* τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ *ΒΑ* εὐθεῖα πρὸς τὴν *ΑΚ*, οὕτως ἡ *ΚΑ* πρὸς τὴν *ΑΝ*· τὸ ἄρα ὑπὸ τῶν *ΒΑΝ* ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΑΚ*. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τῶν *ΑΒΝ* ἴσον τῷ ἀπὸ τῆς *ΒΖ*· τὸ ἄρα ὑπὸ τῶν *ΑΒΝ* μετὰ τοῦ ὑπὸ *ΒΑΝ*, ὅπερ ἐστὶ τὸ ἀπὸ τῆς *ΒΑ*, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΒΖ* μετὰ τοῦ ἀπὸ τῆς *ΑΚ*. καί ἐστιν ἡ μὲν *ΒΑ* πενταγώνου πλευρά, ἡ δὲ *ΒΖ* ἑξαγώνου, ἡ δὲ *ΑΚ* δεκαγώνου.

Ἡ ἄρα τοῦ πενταγώνου πλευρὰ δύναται τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων· ὅπερ ἔδει δεῖξαι.

ιαʹ.

Ἐὰν εἰς κύκλον ῥητὴν ἔχοντα τὴν διάμετρον πεντάγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ

---

2. *ΒΖΝ* P, et B, sed corr. m. rec. 4. *ΖΒ*] *ΒΖ* P. — 5. *ΑΒ*, *ΒΝ* Vq, b e corr. m. rec. ἐστίν P. τῆς *ΒΖ*

est $\angle ABZ$. itaque erit $\angle AZB = BNZ$ [I, 32]. itaque trianguli ABZ, BZN aequianguli sunt. erit igitur [VI, 4] $AB : BZ = ZB : BN$. quare $AB \times BN = BZ^2$ [VI, 17]. rursus quoniam $A\Lambda = \Lambda K$, et ΛN communis est et perpendicularis, erit $KN = AN$ et $\angle \Lambda KN = \Lambda AN$ [I, 4]. sed $\angle \Lambda AN = KBN$ [III, 29. I, 5]. quare etiam $\angle \Lambda KN = KBN$. et duorum triangulorum AKB, AKN communis est angulus ad A positus. erit igitur $\angle AKB = KNA$ [I, 32]. quare trianguli KBA, KNA aequianguli sunt. erit igitur [VI, 4] $BA : AK = KA : AN$. itaque $BA \times AN = AK^2$ [VI, 17]. demonstrauimus autem, esse etiam $AB \times BN = BZ^2$. ergo $AB \times BN + BA \times AN = BZ^2 + AK^2 = BA^2$ [II, 2]. et BA latus est pentagoni, BZ hexagoni [IV, 15 coroll.], AK decagoni.

Ergo quadratum lateris pentagoni aequale est quadratis laterum hexagoni et decagoni in eodem circulo inscriptorum; quod erat demonstrandum.

XI.

Si in circulum, cuius diametrus rationalis est, pentagonum aequilaterum inscribitur, latus pentagoni recta est irrationalis minor quae uocatur.

Vq. 7. ἄρα καί P. AN] A corr. ex Λ m. 2 B. 10. καὶ ἡ — ἐστιν ἴση] bis P, corr. m. 1; supra m. 1 V. ἐστιν ἴση] ἄρα ἴση ἐστί V. 11. τε] om. P. AKB] ABK P. 12. ἡ πρὸς τῷ A] om. V; ἡ ὑπὸ NAK Theon (Bbq). 13. ἐστίν B. KBA'' b. 14. KNA' b. 15. εὐθεῖα] om. q. 16. BA, AN q et e corr. m. rec. b. 17. AK] corr. ex ANK m. rec. b. AB, BN Vq et e corr. m. rec. b; item lin. 18. 18. BA, AN Vq et corr. ex ABN m. rec. b. 19. ὅπερ ἐστίν P. BZ] corr. ex ZB V. 21. AK] supra scr. Δ m. 1 b. 25. ὅπερ ἔδει δεῖξαι] om. bq.

πενταγώνου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

Εἰς γὰρ κύκλον τὸν $ΑΒΓΔΕ$ ῥητὴν ἔχοντα τὴν διάμετρον πεντάγωνον ἰσόπλευρον ἐγγεγράφθω τὸ $ΑΒΓΔΕ$· λέγω, ὅτι ἡ τοῦ [$ΑΒΓΔΕ$] πενταγώνου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ $Ζ$ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ $ΑΖ$, $ΖΒ$ καὶ διήχθωσαν ἐπὶ τὰ $Η$, $Θ$ σημεῖα, καὶ ἐπεζεύχθω ἡ $ΑΓ$, καὶ κείσθω τῆς $ΑΖ$ τέταρτον μέρος ἡ $ΖΚ$. ῥητὴ δὲ ἡ $ΑΖ$· ῥητὴ ἄρα καὶ ἡ $ΖΚ$. ἔστι δὲ καὶ ἡ $ΒΖ$ ῥητή· ὅλη ἄρα ἡ $ΒΚ$ ῥητή ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ $ΑΓΗ$ περιφέρεια τῇ $ΑΔΗ$ περιφερείᾳ, ὧν ἡ $ΑΒΓ$ τῇ $ΑΕΔ$ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ $ΓΗ$ λοιπῇ τῇ $ΗΔ$ ἐστιν ἴση. καὶ ἐὰν ἐπιζεύξωμεν τὴν $ΑΔ$, συνάγονται ὀρθαὶ αἱ πρὸς τῷ $Λ$ γωνίαι, καὶ διπλῆ ἡ $ΓΔ$ τῆς $ΓΛ$. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ πρὸς τῷ $Μ$ ὀρθαί εἰσιν, καὶ διπλῆ ἡ $ΑΓ$ τῆς $ΓΜ$. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ $ΑΛΓ$ γωνία τῇ ὑπὸ $ΑΜΖ$, κοινὴ δὲ τῶν δύο τριγώνων τοῦ τε $ΑΓΛ$ καὶ τοῦ $ΑΜΖ$ ἡ ὑπὸ $ΛΑΓ$, λοιπὴ ἄρα ἡ ὑπὸ $ΑΓΛ$ λοιπῇ τῇ ὑπὸ $ΜΖΑ$ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ $ΑΓΛ$ τρίγωνον τῷ $ΑΜΖ$ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ $ΛΓ$ πρὸς $ΓΑ$, οὕτως ἡ $ΜΖ$ πρὸς $ΖΑ$· καὶ τῶν ἡγουμένων τὰ διπλάσια· ὡς ἄρα ἡ τῆς $ΛΓ$ διπλῆ πρὸς τὴν $ΓΑ$, οὕτως ἡ τῆς $ΜΖ$ διπλῆ πρὸς τὴν

---

1. *ἄλογος*] corr. ex *ἀνάλογον* m. rec. P. 5. $ΑΒΓΔΕ$] (alt.) om. P. 6. Ante *ἄλογος* eras. *ἀν-* P. 7. *τό*] (alt.) corr. ex *τοῦ* P. 11. *ἔστιν* B. 12. *ἐστι* Vq, comp. b. $ΑΒΓΗ$ bq. 13. $ΑΔΗ$] $ΑΕΔΗ$ bq. $ΑΕΔ$] $ΕΔ$ in ras. m. 2 V. *ἴση ἐστίν* P. 14. *ἄρα*] om. q. 15. *τῷ*] *τό* bq. 16. $ΔΓ$ P. 17. *τῷ*] *τό* q, *τῷ* supra scr. o m. 1 b. Post $Μ$ add. *γωνίαι* m. rec. P. *εἰσι* Vbq. *διπλῆ ἄρα ἡ* P.

Nam in circulum $AB\Gamma\Delta E$, cuius diametrus rationalis sit, pentagonum aequilaterum inscribatur $AB\Gamma\Delta E$. dico, latus pentagoni rectam esse irrationalem minorem quae uocetur.

sumatur enim centrum circuli Z punctum [III, 1], et ducantur AZ, ZB et producantur ad puncta H, Θ, et ducatur $A\Gamma$, et ponatur $ZK = \frac{1}{4}AZ$. AZ autem rationalis est; itaque etiam ZK rationalis est. uerum etiam BZ rationalis est. itaque tota BK rationalis est. et quoniam arcus $A\Gamma H$ arcui $A\Delta H$ aequalis est, quorum $AB\Gamma = AE\Delta$, erit $\Gamma H = H\Delta$. et ducta $A\Lambda$ concludimus, angulos ad Λ positos rectos esse, et $\Gamma\Delta = 2\Gamma\Lambda$ [I, 4]. eadem de causa etiam anguli ad M positi recti sunt, et

$$A\Gamma = 2\Gamma M.$$



iam quoniam $\angle \Lambda A\Gamma = AMZ$, et duorum triangulorum $A\Gamma\Lambda$, AMZ communis est $\angle \Lambda A\Gamma$, erit $\angle A\Gamma\Lambda = MZA$ [I, 32]. itaque trianguli $A\Gamma\Lambda$, AMZ aequianguli sunt. erit igitur [VI, 4] $\Lambda\Gamma : \Gamma A = MZ : ZA$. et sumpto duplo praecedentium erit $2\Lambda\Gamma : \Gamma A = 2MZ : ZA$. sed $2MZ$

$A\Gamma$] supra scr. Δ m. 1 b. 19. τῶν] corr. ex ἡ m. 1 b. $A\Gamma\Lambda$] $A\Lambda\Gamma$ BV. 20. $A\Lambda\Gamma$] $A\Lambda$ e corr. V. $A\Gamma\Lambda$] corr. ex $A\Lambda\Gamma$ m. rec. B. 23. $\Lambda\Gamma$] $\Gamma\Lambda$ Vq. τὴν ΓA V. τὴν ZA V.

ΖΑ. ὡς δὲ ἡ τῆς ΜΖ διπλῆ πρὸς τὴν ΖΑ, οὕτως ἡ ΜΖ πρὸς τὴν ἡμίσειαν τῆς ΖΑ· καὶ ὡς ἄρα ἡ τῆς ΔΓ διπλῆ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΜΖ πρὸς τὴν ἡμίσειαν τῆς ΖΑ. καὶ τῶν ἑπομένων τὰ ἡμίσεα· ὡς ἄρα ἡ τῆς ΔΓ διπλῆ πρὸς τὴν ἡμίσειαν τῆς ΓΑ, οὕτως ἡ ΜΖ πρὸς τὸ τέταρτον τῆς ΖΑ. καί ἐστι τῆς μὲν ΔΓ διπλῆ ἡ ΔΓ, τῆς δὲ ΓΑ ἡμίσεια ἡ ΓΜ, τῆς δὲ ΖΑ τέταρτον μέρος ἡ ΖΚ· ἔστιν ἄρα ὡς ἡ ΔΓ πρὸς τὴν ΓΜ, οὕτως ἡ ΜΖ πρὸς τὴν ΖΚ. συνθέντι καὶ ὡς συναμφότερος ἡ ΔΓΜ πρὸς τὴν ΓΜ, οὕτως ἡ ΜΚ πρὸς ΚΖ· καὶ ὡς ἄρα τὸ ἀπὸ συναμφοτέρου τῆς ΔΓΜ πρὸς τὸ ἀπὸ ΓΜ, οὕτως τὸ ἀπὸ ΜΚ πρὸς τὸ ἀπὸ ΚΖ. καὶ ἐπεὶ τῆς ὑπὸ δύο πλευρας τοῦ πενταγώνου ὑποτεινούσης, οἷον τῆς ΔΓ, ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμα ἴσον ἐστὶ τῇ τοῦ πενταγώνου πλευρᾷ, τουτέστι τῇ ΔΓ, τὸ δὲ μεῖζον τμῆμα προσλαβὸν τὴν ἡμίσειαν τῆς ὅλης πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τῆς ὅλης, καί ἐστιν ὅλης τῆς ΑΓ ἡμίσεια ἡ ΓΜ, τὸ ἄρα ἀπὸ τῆς ΔΓΜ ὡς μιᾶς πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΜ. ὡς δὲ τὸ ἀπὸ τῆς ΔΓΜ ὡς μιᾶς πρὸς τὸ ἀπὸ τῆς ΓΜ, οὕτως ἐδείχθη τὸ ἀπὸ τῆς ΜΚ πρὸς τὸ ἀπὸ τῆς ΚΖ· πενταπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΜΚ τοῦ ἀπὸ τῆς ΚΖ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΚΖ· ῥητὴ γὰρ ἡ διάμετρος· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΜΚ· ῥητὴ ἄρα ἐστὶν ἡ ΜΚ [δυνάμει μόνον]. καὶ ἐπεὶ τετραπλασία ἐστὶν ἡ ΒΖ τῆς ΖΚ, πενταπλασία ἄρα ἐστὶν ἡ ΒΚ τῆς ΚΖ· εἰκοσιπενταπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΒΚ τοῦ

---

1. ὡς δέ] *ἀλλ' ὡς* BVb. 2. *τῆς ΔΓ*] *τοῦ ΔΓ* V; supra scr. *Α* m. 1 b. 4. *ἡμίσεια* P et b, corr. in *ἡμίση* m. 1; *ἡμίση*

$: ZA = MZ : \frac{1}{2}ZA$. est igitur $2\Delta\Gamma : \Gamma A = MZ : \frac{1}{2}ZA$. et sumpto dimidio sequentium erit $2\Delta\Gamma : \frac{1}{2}\Gamma A = MZ : \frac{1}{4}ZA$. et $2\Delta\Gamma = \Delta\Gamma$, $\frac{1}{2}\Gamma A = \Gamma M$, $\frac{1}{4}ZA = ZK$. itaque $\Delta\Gamma : \Gamma M = MZ : ZK$. et componendo [V, 18] $\Delta\Gamma + \Gamma M : \Gamma M = MK : KZ$. quare erit $(\Delta\Gamma + \Gamma M)^2 : \Gamma M^2 = MK^2 : KZ^2$. et quoniam recta sub duobus lateribus pentagoni subtendenti uelut $A\Gamma$ secundum rationem extremam ac mediam diuisa maior pars lateri pentagoni aequalis est [prop. VIII], h. e. $\Delta\Gamma$, et quadratum maioris partis adiuncta dimidia parte totius aequale est quadrato dimidiae totius quinquies sumpto [prop. I], et $\Gamma M = \frac{1}{2}A\Gamma$, erit $(\Delta\Gamma + \Gamma M)^2 = 5\Gamma M^2$. demonstrauimus autem, esse $(\Delta\Gamma + \Gamma M)^2 : \Gamma M^2 = MK^2 : KZ^2$. itaque $MK^2 = 5KZ^2$. uerum KZ^2 rationale est; nam diametrus rationalis est. itaque etiam MK^2 rationale est. MK igitur rationalis[1]) est. et quoniam est $BZ = 4ZK$, erit $BK = 5KZ$. itaque $BK^2 = 25KZ^2$. uerum $MK^2 = 5KZ^2$. itaque BK^2

1) Uerba δυνάμει μόνον lin. 26, quae huc nihil pertinent, glossema sapiunt.

BV. 5. Supra $A\Gamma$ scr. A m. 1 b. 7. $A\Gamma$ P. ἡμισείας B, corr. m. 2. 10. $\Delta\Gamma M$] M supra scr. m. 2 B. 11. τὴν KZ bq, ZK B, τὴν ZK V. 12. $\Delta\Gamma M$] M supra scr. m. 2 B. τῆς ΓM V. 13. τῆς KZ V. 15. τετμημένης Theon (BVbq). 16. τουτέστιν PB. 17. προσ- in ras. m. 1 b. 19. ἐστιν] ἐστι τῆς q. 20. τῆς] om. q. $\Delta\Gamma$ supra scr. M m. 2 B; item lin. 21. ὡς ἀπό q. ἐστιν P. 25. ἄρα ἐστι P. ῥητή — 26. μόνον] πρὸς τὸ ἀπὸ KZ q. 26. ἐστίν] ἐστὶ καί V. δυνάμει μόνον] λόγον γὰρ ἔχει ὃν ἀριθμὸς πρὸς ἀριθμὸν τὸ ἀπὸ τῆς MK πρὸς τὸ ἀπὸ (τῆς add. V) KZ Theon (BVq). 27. ἐστίν] (alt.) om. V. 28. Post KZ in P del. m. 1: εἰκοσιπενταπλά (-σιον postea add.) ἄρα ἐστὶν ἡ BK τῆς BZ.

ἀπὸ τῆς ΚΖ. πενταπλάσιον δὲ τὸ ἀπὸ τῆς ΜΚ τοῦ ἀπὸ τῆς ΚΖ· πενταπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΒΚ τοῦ ἀπὸ τῆς ΚΜ· τὸ ἄρα ἀπὸ τῆς ΒΚ πρὸς τὸ ἀπὸ ΚΜ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΒΚ τῇ ΚΜ μήκει. καί ἐστι ῥητὴ ἑκατέρα αὐτῶν. αἱ ΒΚ, ΚΜ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. ἐὰν δὲ ἀπὸ ῥητῆς ῥητὴ ἀφαιρεθῇ δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ, ἡ λοιπὴ ἄλογός ἐστιν ἀποτομή· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΜΒ, προσαρμόζουσα δὲ αὐτῇ ἡ ΜΚ. λέγω δή, ὅτι καὶ τετάρτη. ᾧ δὴ μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΒΚ τοῦ ἀπο τῆς ΚΜ, ἐκείνῳ ἴσον ἔστω τὸ ἀπὸ τῆς Ν· ἡ ΒΚ ἄρα τῆς ΚΜ μεῖζον δύναται τῇ Ν. καὶ ἐπεὶ σύμμετρός ἐστιν ἡ ΚΖ τῇ ΖΒ, καὶ συνθέντι σύμμετρός ἐστιν ἡ ΚΒ τῇ ΖΒ. ἀλλὰ ἡ ΒΖ τῇ ΒΘ σύμμετρός ἐστιν· καὶ ἡ ΒΚ ἄρα τῇ ΒΘ σύμμετρός ἐστιν. καὶ ἐπεὶ πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΚ τοῦ ἀπο τῆς ΚΜ, τὸ ἄρα ἀπὸ τῆς ΒΚ πρὸς τὸ ἀπὸ τῆς ΚΜ λόγον ἔχει, ὃν ε̄ πρὸς ἕν. ἀναστρέψαντι ἄρα το ἀπὸ τῆς ΒΚ πρὸς τὸ ἀπὸ τῆς Ν λόγον ἔχει, ὃν ε̄ πρὸς δ̄, οὐχ ὃν τετράγωνος πρὸς τετράγωνον· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΒΚ τῇ Ν· ἡ ΒΚ ἄρα τῆς ΚΜ μεῖζον δύναται τῷ ἀπο ἀσυμμέτρου ἑαυτῇ. ἐπεὶ οὖν ὅλη ἡ ΒΚ τῆς προσαρμοζούσης τῆς ΚΜ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ὅλη ἡ ΒΚ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΒΘ, ἀποτομὴ ἄρα τετάρτη ἐστὶν ἡ ΜΒ. τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τετάρτης περιεχόμενον ὀρθογώνιον ἄλογόν ἐστιν, καὶ ἡ δυνα-

---

2. ΒΚ] Β corr. ex Γ m. 1 b. 3. ΚΜ] (alt.) ΜΚ b; τῆς ΜΚ Bq, τῆς ΚΜ V. 5. ἐστίν] om. V. ΚΒ P. 6. ἐστιν PB.

$= 5 KM^2$. itaque BK^2 ad KM^2 rationem non habet, quam numerus quadratus ad numerum quadratum. itaque BK, KM longitudine incommensurabiles sunt. et utraque earum rationalis est. itaque BK, KM rationales sunt potentia solum commensurabiles. sin a recta rationali rationalis aufertur toti potentia solum commensurabilis, quae relinquitur, irrationalis est, scilicet apotome. itaque MB apotome est et ei congruens MK [X, 73]. iam dico, eandem quartam esse. sit enim $N^2 = BK^2 \div KM^2$. itaque $BK^2 = KM^2 + N^2$. et quoniam KZ, ZB commensurabiles sunt, etiam componendo KB, ZB commensurabiles sunt. uerum BZ, $B\Theta$ commensurabiles sunt. itaque etiam BK, $B\Theta$ commensurabiles. et quoniam $BK^2 = 5KM^2$, erit $BK^2 : KM^2 = 5 : 1$. conuertendo igitur [V, 19 coroll.] $BK^2 : N^2 = 5 : 4$, quae non est ratio quadrati ad quadratum. itaque BK, N incommensurabiles sunt [X, 9]. quadratum igitur rectae BK quadratum rectae KM excedit quadrato rectae ei incommensurabilis. iam quoniam quadratum totius BK quadratum rectae congruentis KM excedit quadrato rectae ei incommensurabilis, et tota BK et $B\Theta$ commensurabiles sunt, MB quarta apotome erit [X deff. tert. 4].

KM] K corr. ex M m. 1 V. 7. εἴσιν B. 9. ἔστι καλεῖται δέ bq. ἀποτομή] om. BV. 10. ἐστίν] om. V. 11. δή] δέ B. δή] γάρ BV. ἔστιν P. τῆς] om. q. 14. ZB] Z in ras. m. 1 P. 15. ZB] BZ Bq et supra scr. Δ b. 16. ἔστι PBVq, comp. b. Dein add. μήκει BV. καί — ἔστιν] mg. m. 2 ins. ante μήκει B. ἔστι Vq, comp. Bb. 18. τό] (alt.) τόν V. 19. $\bar{\varepsilon}$] πέντε q. ἕν] $\bar{\alpha}$ BV, τὸν $\bar{\alpha}$ b. 20. τό] τόν V. 21. ὄν] ὁ b. 23. συμμέτρου q et P, sed corr. m. rec. 25. Ante BK eras. K P. ἀσύμμετρος B. 27. BM P. 28. ἔστι Vq, comp. b.

μένη αὐτὸ ἄλογός ἐστιν, καλεῖται δὲ ἐλάττων. δύναται δὲ τὸ ὑπὸ τῶν ΘΒΜ ἡ ΑΒ διὰ τὸ ἐπιζευγνυμένης τῆς ΑΘ ἰσογώνιον γίνεσθαι τὸ ΑΒΘ τρίγωνον τῷ ΑΒΜ τριγώνῳ καὶ εἶναι ὡς τὴν ΘΒ πρὸς τὴν ΒΑ, οὕτως τὴν ΑΒ πρὸς τὴν ΒΜ.

Ἡ ἄρα ΑΒ τοῦ πενταγώνου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάττων· ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν εἰς κύκλον τρίγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ εἰς αὐτὸν τρίγωνον ἰσόπλευρον ἐγγεγράφθω τὸ ΑΒΓ· λέγω, ὅτι τοῦ ΑΒΓ τριγώνου μία πλευρὰ δυνάμει τριπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου τὸ Δ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΔ διήχθω ἐπὶ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΒΕ. καὶ ἐπεὶ ἰσόπλευρόν ἐστι τὸ ΑΒΓ τρίγωνον, ἡ ΒΕΓ ἄρα περιφέρεια τρίτον μέρος ἐστὶ τῆς τοῦ ΑΒΓ κύκλου περιφερείας. ἡ ἄρα ΒΕ περιφέρεια ἕκτον ἐστὶ μέρος τῆς τοῦ κύκλου περιφερείας· ἑξαγώνου ἄρα ἐστὶν ἡ ΒΕ εὐθεῖα· ἴση ἄρα ἐστὶ τῇ ἐκ τοῦ κέντρου τῇ ΔΕ. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΕ τῆς ΔΕ, τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΑΕ τοῦ ἀπὸ

1. *ἐστι* BVq, comp. b. 2. *τό*] om. B, add. mg. m. 2. *ΘΒ, ΒΜ* Vq. 3. *γίγνεσθαι* V. *ΑΘΒ* q. 4. *τριγώνῳ*] om. b. *ΒΘ* q. 5. *τήν*] (prius) corr. ex *ἡ* m. 1 P. 6. *ἐστιν*] om. P. 7. *πλευρὰ ἐλάττων* b. 11. *ἐστίν* P. 13. *ἐγεγράφθω* (sic) *ἰσόπλευρον* b, supra scr. *β — α*. *ἡ τοῦ* BV. 15. *ΑΒΓ*] om. V. 16. *ΑΒΓ*] om. BV. 20. *κύκλου*] om. q. 22. *ἑξάγωνος* B. Post prius *ἄρα* add. *πλευρά* V. *ἐστίν* PB.

rectangulum autem rationali et quarta apotome comprehensum irrationale est, et recta, cuius quadratum ei aequale est, irrationalis est uocaturque minor [X, 94]. uerum $AB^2 = \Theta B \times BM$, quia ducta $A\Theta$ trianguli $AB\Theta$, ABM aequianguli fiunt [VI, 8], et est $\Theta B : BA = AB : BM$ [VI, 4].

Ergo AB latus pentagoni irrationalis est minor quae uocatur; quod erat demonstrandum.

XII.

Si in circulum triangulus aequiangulus inscribitur, latus trianguli potentia triplo maius est radio circuli.

Sit circulus $AB\Gamma$, et in eum triangulus aequiangulus $AB\Gamma$ inscribatur [IV, 2]. dico, latus quoduis trianguli $AB\Gamma$ potentia triplo maius esse radio circuli $AB\Gamma$.



sumatur enim Δ centrum circuli $AB\Gamma$ [III, 1], et ducta $A\Delta$ ad E producatur, et ducatur BE. et quoniam triangulus $AB\Gamma$ aequiangulus est, arcus $BE\Gamma$ tertia pars est ambitus circuli $AB\Gamma$. itaque arcus BE sexta pars est ambitus circuli.[1]) itaque hexagoni est recta BE. quare $BE = \Delta E$ [IV, 15 coroll.]. et quoniam $AE = 2\Delta E$, erit $AE^2 = 4\Delta E^2 = 4BE^2$.

XII. Theon. in Ptolem. p. 183.

1) Nam $A\Gamma E = ABE$ et arc. $A\Gamma = AB$.

τῆς ΕΔ, τουτέστι τοῦ ἀπὸ τῆς ΒΕ. ἴσον δὲ τὸ ἀπὸ τῆς ΑΕ τοῖς ἀπὸ τῶν ΑΒ, ΒΕ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ, ΒΕ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΒΕ. διελόντι ἄρα τὸ ἀπὸ τῆς ΑΒ τριπλάσιόν ἐστι τοῦ ἀπὸ ΒΕ. ἴση δὲ ἡ ΒΕ τῇ ΔΕ· τὸ ἄρα ἀπὸ τῆς ΑΒ τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΔΕ.

Ἡ ἄρα τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασία ἐστὶ τῆς ἐκ τοῦ κέντρου [τοῦ κύκλου]· ὅπερ ἔδει δεῖξαι.

ιγ'.

Πυραμίδα συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν τῇ δοθείσῃ καὶ δεῖξαι, ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει ἡμιολία ἐστὶ τῆς πλευρᾶς τῆς πυραμίδος.

Ἐκκείσθω ἡ τῆς δοθείσης σφαίρας διάμετρος ἡ ΑΒ, καὶ τετμήσθω κατὰ τὸ Γ σημεῖον, ὥστε διπλασίαν εἶναι τὴν ΑΓ τῆς ΓΒ· καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΔΒ, καὶ ἤχθω ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΔΑ· καὶ ἐκκείσθω κύκλος ὁ ΕΖΗ ἴσην ἔχων τὴν ἐκ τοῦ κέντρου τῇ ΔΓ, καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗ κύκλον τρίγωνον ἰσόπλευρον τὸ ΕΖΗ· καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Θ σημεῖον, καὶ ἐπεζεύχθωσαν αἱ ΕΘ, ΘΖ, ΘΗ· καὶ ἀνεστάτω ἀπὸ τοῦ Θ σημείου τῷ τοῦ ΕΖΗ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΘΚ, καὶ ἀφῃρήσθω ἀπὸ τῆς ΘΚ τῇ ΑΓ εὐθείᾳ ἴση ἡ ΘΚ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΕ, ΚΖ, ΚΗ. καὶ ἐπεὶ

---

4. *διπλάσιόν* b. *ἐστιν* P. *ἀπὸ τῆς* V. 5. *διπλάσιόν* b. 7. *διπλασία* b, *τριπλασίων* V. 8. *ἐστίν* P. *τοῦ κύκλου*] om. P. 10. Ante *καί* ins. *ἐκ τεσσάρων τριγώνων ἰσοπλεύρων* mg. m. 1 pro scholio P. *σφαῖραν* b. 12. *ἐστίν* P. 14. *ἐκκείσθω*] prius *κ* supra scr. m. rec. P. 15. Ante

uerum $AE^2 = AB^2 + BE^2$ [III, 31. I, 47]. itaque $AB^2 + BE^2 = 4BE^2$. subtrahendo igitur $AB^2 = 3BE^2$. sed $BE = \Delta E$. itaque $AB^2 = 3\Delta E^2$.

Ergo latus trianguli potentia triplo maius est radio; quod erat demonstrandum.

XIII.

Pyramidem construere et data sphaera comprehendere et demonstrare, diametrum sphaerae potentia sesquialteram esse lateris pyramidis.

Ponatur AB diametrus datae sphaerae et in Γ puncto ita secetur, ut sit $A\Gamma = 2\Gamma B$ [VI, 10]. et in AB semicirculus describatur $A\Delta B$, et a Γ puncto perpendicularis ducatur $\Gamma\Delta$, et ducatur ΔA. et ponatur circulus EZH radium aequalem habens rectae $\Delta\Gamma$, et in circulum EZH triangulus aequilaterus inscribatur EZH [IV, 2]. et sumatur centrum circuli punctum Θ [III, 1], et ducantur $E\Theta$, ΘZ, ΘH. et in Θ puncto ad planum circuli EZH perpendicularis



erigatur ΘK, et a ΘK rectae $A\Gamma$ aequalis abscindatur ΘK et ducantur KE, KZ, KH. et quoniam $K\Theta$ ad

XIII—XVII. Hero def. 101, 2.

κατά del. δίχα m. 1 (et m. rec.) P. 16. τῆς ΓB] mg. postea add. m. 1 P, τῆς $B\Gamma$ V. καταγεγράφθω P. 17. ση-] supra m. 1 b. 19. EHZ V. ἔχον q. 20. ἐκ] supra m. 1 P. 22. κέντρον b. 25. ἀφαιρήσθω P.

ἡ ΚΘ ὀρθή ἐστι πρὸς τὸ τοῦ ΕΖΗ κύκλου ἐπίπεδον, καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τοῦ ΕΖΗ κύκλου ἐπιπέδῳ ὀρθὰς ποιήσει γωνίας. ἅπτεται δὲ αὐτῆς ἑκάστη τῶν ΘΕ, ΘΖ, ΘΗ· ἡ ΘΚ ἄρα πρὸς ἑκάστην τῶν ΘΕ, ΘΖ, ΘΗ ὀρθή ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΓ τῇ ΘΚ, ἡ δὲ ΓΔ τῇ ΘΕ, καὶ ὀρθὰς γωνίας περιέχουσιν, βάσις ἄρα ἡ ΔΑ βάσει τῇ ΚΕ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκατέρα τῶν ΚΖ, ΚΗ τῇ ΔΑ ἐστιν ἴση· αἱ τρεῖς ἄρα αἱ ΚΕ, ΚΖ, ΚΗ ἴσαι ἀλλήλαις εἰσίν. καὶ ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΓΒ, τριπλῆ ἄρα ἡ ΑΒ τῆς ΒΓ. ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΑΔ πρὸς τὸ ἀπὸ τῆς ΔΓ, ὡς ἑξῆς δειχθήσεται. τριπλάσιον ἄρα τὸ ἀπὸ τῆς ΑΔ τοῦ ἀπὸ τῆς ΔΓ. ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς ΖΕ τοῦ ἀπὸ τῆς ΕΘ τριπλάσιον, καί ἐστιν ἴση ἡ ΔΓ τῇ ΕΘ· ἴση ἄρα καὶ ἡ ΔΑ τῇ ΕΖ. ἀλλὰ ἡ ΔΑ ἑκάστῃ τῶν ΚΕ, ΚΖ, ΚΗ ἐδείχθη ἴση· καὶ ἑκάστη ἄρα τῶν ΕΖ, ΖΗ, ΗΕ ἑκάστῃ τῶν ΚΕ, ΚΖ, ΚΗ ἐστιν ἴση· ἰσόπλευρα ἄρα ἐστὶ τὰ τέσσαρα τρίγωνα τὰ ΕΖΗ, ΚΕΖ, ΚΖΗ, ΚΕΗ. πυραμὶς ἄρα συνέσταται ἐκ τεσσάρων τριγώνων ἰσοπλεύρων, ἧς βάσις μέν ἐστι τὸ ΕΖΗ τρίγωνον, κορυφὴ δὲ τὸ Κ σημεῖον.

Δεῖ δὴ αὐτὴν καὶ σφαίρᾳ περιλαβεῖν τῇ δοθείσῃ καὶ δεῖξαι, ὅτι ἡ τῆς σφαίρας διάμετρος ἡμιολία ἐστὶ δυνάμει τῆς πλευρᾶς τῆς πυραμίδος.

---

1. *ἐστιν* P. 2. *ἄρα*] *ἔτι* V. *αὐτῆς*] corr. ex *αὐτῆι* m. 2 B. 3. *ΕΖΗΘ* Bb. 5. *ἡ ΘΚ* — 6. *ΘΗ*] mg. m. 2 B. 5. *ΘΚ*] *Θ* e corr. m. 1 b. 6. *ἐστι* Vq, comp. b. 7. *περιέχουσι* Vbq. 8. *ΔΑ*] *Α* e corr. m. 2 P. 9. *ἴση· καὶ αἱ* q. 10. *ἀλλήλοις* V. *εἰσί* q, comp. b. 11. *τριπλῆ*] *διπλῆ* b. 13. Post *ΔΓ* add. P: *ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΒ πρὸς ΑΓ*

planum circuli EZH perpendicularis est, etiam ad omnes rectas eam tangentes et in plano circuli EZH positas rectos angulos efficiet [XI def. 3]. tangunt autem ΘE, ΘZ, ΘH. ΘK igitur ad singulas ΘE, ΘZ, ΘH perpendicularis est. et quoniam $A\Gamma = \Theta K$, $\Gamma\Delta = \Theta E$, et rectos angulos comprehendunt, erit $\Delta A = KE$ [I, 4]. eadem de causa etiam $KZ = \Delta A$ et $KH = \Delta A$. itaque $KE = KZ = KH$. et quoniam $A\Gamma = 2\Gamma B$, erit $AB = 3B\Gamma$. sed $AB : B\Gamma = A\Delta^2 : \Delta\Gamma^2$, ut postea demonstrabitur [u. lemma]. itaque $A\Delta^2 = 3\Delta\Gamma^2$. uerum etiam $ZE^2 = 3E\Theta^2$ [prop. XII]. et $\Delta\Gamma = E\Theta$. itaque etiam $\Delta A = EZ$. demonstrauimus autem, esse $\Delta A = KE = KZ = KH$. itaque singulae EZ, ZH, HE singulis KE, KZ, KH aequales sunt. quare quattuor trianguli EZH, KEZ, KZH, KEH aequilateri sunt. ergo ex quattuor triangulis aequilateris pyramis constructa est, cuius basis est triangulus EZH, uertex autem K punctum.

oportet igitur eam etiam data sphaera comprehendere et demonstrare, diametrum sphaerae potentia sesquialteram esse lateris pyramidis.

οὕτως (corr. ex οὗτος m. 2) τὸ ἀπὸ ΔA πρὸς τὸ ἀπὸ $A\Gamma$, ἀναστρέψαντι ὡς ἡ AB πρὸς $B\Gamma$, οὕτως τὸ ἀπὸ $A\Delta$ πρὸς τὸ ἀπὸ $\Delta\Gamma$; idem mg. m. 2 B (BA pro priore AB, $A\Gamma$ pro $\Delta\Gamma$), add. in fine ὡς ἑξῆς δειχθήσεται, sed ins. post δειχθήσεται lin. 13; eodem loco haec uerba ἐπεὶ γάρ — δειχθήσεται in textu hab. V (BA, τὴν $A\Gamma$, τῆς ΔA, τῆς $A\Gamma$), sed περιττόν add. m. 2. 15. ἐστιν PB. 17. ΔA] $A\Delta$ P. τῇ] τῆς P. 18. HE] corr. ex $H\Theta$ m. 2 V, $H\Theta$ q. 19. KE] EK q. ἴση ἴσα καί q. 20. ἐστίν B. τέσσερα B. KZH] KEH q et V (E e corr.). 21. KEH] KZH q et V (ZH e corr.), $KH\Theta$ B. συνίσταται BVb. Post τριγώνων add. ἴσων καί Vq, m. rec. B. 22. ἡ q. 25. δυνάμει ἡμιολία ἐστί V. ἐστίν P.

Ἐκβεβλήσθω γὰρ ἐπ' εὐθείας τῇ ΚΘ εὐθεῖα ἡ ΘΛ, καὶ κείσθω τῇ ΓΒ ἴση ἡ ΘΛ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΓ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΓΒ, ἴση δὲ ἡ μὲν ΑΓ τῇ ΚΘ, ἡ δὲ ΓΔ τῇ ΘΕ, ἡ δὲ ΓΒ τῇ ΘΛ, ἔστιν ἄρα ὡς ἡ ΚΘ πρὸς τὴν ΘΕ, οὕτως ἡ ΕΘ πρὸς τὴν ΘΛ· τὸ ἄρα ὑπὸ τῶν ΚΘ, ΘΛ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΘ. καί ἐστιν ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΚΘΕ, ΕΘΛ γωνιῶν· τὸ ἄρα ἐπὶ τῆς ΚΛ γραφόμενον ἡμικύκλιον ἥξει καὶ διὰ τοῦ Ε [ἐπειδήπερ ἐὰν ἐπιζεύξωμεν τὴν ΕΛ, ὀρθὴ γίνεται ἡ ὑπὸ ΛΕΚ γωνία διὰ τὸ ἰσογώνιον γίνεσθαι τὸ ΕΛΚ τρίγωνον ἑκατέρῳ τῶν ΕΛΘ, ΕΘΚ τριγώνων]. ἐὰν δὴ μενούσης τῆς ΚΛ περιενεχθὲν τὸ ἡμικύκλιον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἥξει καὶ διὰ τῶν Ζ, Η σημείων ἐπιζευγνυμένων τῶν ΖΛ, ΛΗ καὶ ὀρθῶν ὁμοίως γινομένων τῶν πρὸς τοῖς Ζ, Η γωνιῶν· καὶ ἔσται ἡ πυραμὶς σφαίρᾳ περιειλημμένη τῇ δοθείσῃ. ἡ γὰρ ΚΛ τῆς σφαίρας διάμετρος ἴση ἐστὶ τῇ τῆς δοθείσης σφαίρας διαμέτρῳ τῇ ΑΒ, ἐπειδήπερ τῇ μὲν ΑΓ ἴση κεῖται ἡ ΚΘ, τῇ δὲ ΓΒ ἡ ΘΛ.

Λέγω δή, ὅτι ἡ τῆς σφαίρας διάμετρος ἡμιολία ἐστὶ δυνάμει τῆς πλευρᾶς τῆς πυραμίδος.

Ἐπεὶ γὰρ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΓΒ, τριπλῆ ἄρα ἐστὶν ἡ ΑΒ τῆς ΒΓ· ἀναστρέψαντι ἡμιολία ἄρα ἐστὶν ἡ ΒΑ τῆς ΑΓ. ὡς δὲ ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΒΑ πρὸς τὸ ἀπὸ τῆς ΑΔ [ἐπειδήπερ ἐπιζευγνυμένης τῆς ΔΒ ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΔΑ πρὸς τὴν ΑΓ διὰ τὴν ὁμοιότητα τῶν

---

1. *τῇ*] scripsi; *τῆς* PBVbq. 2. *ΘΛ*] supra scr. *Α* m. 1 b. *ἐκκείσθω* q. 5. *ἄρα*] e corr. V. 6. Ante *ΕΘ* del.

producatur enim recta $K\Theta$ in directum et fiat $\Theta\varLambda$, et ponatur $\Theta\varLambda = \Gamma B$. et quoniam est $A\Gamma : \Gamma\varDelta = \Gamma\varDelta : \Gamma B$ [VI, 8 coroll.], et $A\Gamma = K\Theta$, $\Gamma\varDelta = \Theta E$, $\Gamma B = \Theta\varLambda$, erit $K\Theta : \Theta E = E\Theta : \Theta\varLambda$. itaque $K\Theta \times \Theta\varLambda = E\Theta^2$ [VI, 17]. et uterque angulus $K\Theta E$, $E\Theta\varLambda$ rectus est. itaque semicirculus in $K\varLambda$ descriptus etiam per E ueniet.[1]) itaque si manente recta $K\varLambda$ semicirculus circumuolutus rursus ad idem punctum refertur, unde circumuolui coeptus est, etiam per puncta Z, H ueniet ductis rectis $Z\varLambda$, $\varLambda H$, quo facto anguli ad Z, H positi et ipsi recti fiunt. et pyramis data sphaera erit comprehensa; nam $K\varLambda$ diametro sphaerae AB aequalis est, quoniam posuimus

εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΜΝΞΟ πυραμίδα, ἔσται ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς ἤτοι πρὸς ἔλαττόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρὸς ἔλαττον τὸ Ω, καὶ τῇ ΜΝΞΟ πυραμίδι ἴσα ἔστω τὰ Ω, Χ χωρία, καὶ διῃρήσθω ἡ ΜΝΞΟ πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα. μείζονα ἄρα ἐστὶ τὰ πρίσματα τῆς ὅλης πυραμίδος ἢ τὸ ἥμισυ. τέμνοντες δὴ τὰς ὑπολειπομένας πυραμίδας εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα λήψομέν τινας πυραμίδας ἀπὸ τῆς ὅλης πυραμίδος, αἳ ἔσονται ἐλάσσονες τοῦ Χ στερεοῦ. λελήφθωσαν καὶ ἔστωσαν αἱ ΜΠΣΡ, ΤΥΟ. ἐπεὶ οὖν ἡ πυραμὶς ἴση ἐστὶ τοῖς στερεοῖς εἰς τὰ καταλελημμένα ἀποτμήματα ἐλάσσονά εἰσι τοῦ Χ. λοιπὰ ἄρα τὰ ἐν *τῇ ΜΝΞΟ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Ω στερεοῦ. διῃρήσθω ἡ ΑΒΓΔ πυραμὶς ὁμοίως τῇ ΜΝΞΟ πυραμίδι. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως τὰ ἐν τῇ πυραμίδι τῇ ΑΒΓΔ πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ, ὡς ἄρα ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὸ Ω στερεόν, οὕτως τὰ ἐν τῇ ΑΒΓΔ πυραμίδι πρίσματα πάντα πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὰ ἐν αὐτῇ πρίσματα πάντα, οὕτως τὸ Ω στερεὸν πρὸς τὰ ἐν τῇ ΜΝΞΟ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ. μείζων δὲ ἡ ΑΒΓΔ πυραμὶς τῶν ἐν αὐτῇ πρισμάτων πάντων. μεῖζον ἄρα καὶ τὸ Ω στερεὸν τῶν ἐν τῇ ΜΝΞΟ πυραμίδι πρισμάτων πάντων. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεόν.*

λέγω δή, ὅτι οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς τὸ Ω. ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ ΜΝΞ βάσις πρὸς τὴν ΑΒΓ βάσιν, οὕτως τὸ Ω στερεὸν πρὸς τὴν ΑΒΓΔ πυραμίδα. ὡς δὲ τὸ Ω στερεὸν πρὸς τὴν ΑΒΓΔ πυραμίδα, οὕτως ἡ ΜΝΞΟ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΑΒΓΔ πυραμίδος στερεόν. ὡς ἄρα ἡ ΜΝΞ βάσις πρὸς τὴν ΑΒΓ βάσιν, οὕτως ἡ ΜΝΞΟ πυραμὶς πρὸς ἔλαττόν τι τῆς ΑΒΓΔ πυραμίδος στερεόν· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως ἡ ΑΒΓΔ πυραμὶς πρὸς μεῖζόν τι τῆς ΜΝΞΟ πυραμίδος στερεόν. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττον. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΜΝΞ βάσιν, οὕτως η

ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΜΝΞΟ πυραμίδα· ὅπερ ἔδει δεῖξαι.

Πᾶν πρίσμα τρίγωνον ἔχον βάσιν διαιρεῖται εἰς τρεῖς 6
πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας.

ἔστω πρίσμα τὸ ΑΒΓΔΕΖ τρίγωνον ἔχον βάσιν τὴν ΓΖΔ. λέγω, ὅτι τὸ ΑΒΓΔΕΖ πρίσμα διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας. ἐπεξεύχθωσαν γὰρ αἱ ΒΔ, ΒΖ, ΖΕ. ἡ ἄρα πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΓΒΔ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΒΔΕ τρίγωνον, κορυφὴν δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΔΕΖ τρίγωνον, κορυφὴν δὲ τὸ Ζ σημεῖον. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΒΓΔ τρίγωνον, κορυφὴ δὲ τὸ Ζ σημεῖον, ἴση ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΔΕΖ τρίγωνον, κορυφὴν δὲ τὸ Β σημεῖον. διήρηται ἄρα τὸ ΑΒΓΔΕΖ πρίσμα εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις, ὧν βάσεις μέν εἰσιν ΑΒΓΔ, ΕΔΕΖ, κορυφὴ δὲ τὰ Β, Ζ σημεῖα.

Τῶν ἴσων πυραμίδων καὶ τριγώνους βάσεις ἐχου- 7
σῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι. καὶ ὧν πυραμίδων τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσαι εἰσὶν ἐκεῖναι.

ἔστωσαν ἴσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΕΖΗ αἱ ΑΒΓΔ, ΕΖΗΘ, κορυφὰς δὲ τὰ Δ, Θ σημεῖα. λέγω, ὅτι τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων τριγώνων βάσιν ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι. συμπεπληρώσθω γὰρ τὰ ΒΔΜΛ, ΖΘΡΘ στερεά. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒΓΔ πυραμὶς *τῇ ΕΖΗΘ πυραμίδι, καί ἐστι τῆς μὲν ΑΒΓΔ πυραμίδος ἑξαπλάσιον τὸ ΒΔΜΛ στερεόν, τῆς δὲ ΕΖΗΘ ἑξαπλάσιον τὸ ΖΘΡΟ στερεόν, ἴσον ἄρα ἐστὶ τὸ ΒΔΜΛ στερεὸν τῷ ΖΘΡΟ στερεῷ. τῶν δὲ ἴσων στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως τὸ τοῦ ΟΡΘΖ στερεοῦ ὕψος. ὡς δὲ ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν. ὡς ἄρα ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τοῦ ΟΡΘΖ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΛΜΔΒ στερεοῦ ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν τε ΒΔΜΛ, ΖΘΡΟ στερεῶν καὶ τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ ἀπὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος τῶν ΑΒΓΔ, ΕΖΗΘ πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. τῶν ΑΒΓΔ, ΕΖΗΘ ἄρα πυραμίδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.* ⌶

ἀντιπεπονθέτωσαν δὴ πάλιν τῶν ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων αἱ βάσεις τοῖς ὕψεσι, καὶ ἔστω ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. λέγω, ὅτι ἐστὶν ἴση ἡ ΑΒΓΔ πυραμὶς τῇ ΕΖΗΘ πυραμίδι· τῶν γὰρ αὐτῶν κατασκευασθέντων ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος, ὡς δὲ ἡ ΑΒΓ βάσις πρὸς τὴν ΕΖΗ βάσιν, οὕτως ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως τὸ τῆς ΕΖΗΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΔ πυραμίδος ὕψος. τὰ δ' αὐτὰ ὕψη ἐστὶ τῶν τε ΑΒΓΔ, ΕΖΗΘ πυραμίδων καὶ τῶν ΒΔΜΛ, ΖΘΡΟ στερεῶν. ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΖΡ βάσιν, οὕτως *τὸ τοῦ ΖΘΡΟ στερεοῦ ὕψος. ὧν δὲ στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα. ἴσον ἄρα ἐστὶ τὸ ΒΔΜΛ στερεὸν τῷ ΖΘΡΟ στερεῷ. καί ἐστι τοῦ μὲν ΒΔΜΛ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ, ΑΒΓΔ πυραμίς, τοῦ δὲ ΖΘΡΟ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ πυραμίς. ἴση ἄρα ἐστὶν ἡ ΑΒΓΔ πυραμὶς τῇ ΕΖΗΘ πυραμίδι. ὅπερ ἔδει δεῖξαι.*

Αἱ ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις 8
πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

ἔστωσαν ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ, ΕΖΗ αἱ ΑΒΓΔ, ΕΖΗΘ, κορυφὰς δὲ τὰ Δ, Θ σημεῖα, καὶ ἔστω ἴση ἡ μὲν ὑπὸ τῶν ΑΒ, ΒΓ γωνία τῇ ὑπὸ τῶν ΕΖ, ΖΗ γωνίᾳ, ἡ δὲ ὑπὸ τῶν ΑΒ, ΒΔ τῇ ὑπὸ τῶν ΕΖ, ΖΘ. καὶ ἐπεὶ ἡ ὑπὸ τῶν ΑΒ, ΒΓ τῇ ὑπὸ τῶν ΘΖ, ΖΗ, ὁμόλογος δὲ ἔστω ἡ ΒΓ τῇ ΖΗ. λέγω, ὅτι ἡ ΑΒΓΔ πυραμὶς πρὸς τὴν ΕΖΗΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ.

συμπεπληρώσθωσαν γὰρ τὰ ΒΔΜΛ, ΖΘΡΟ στερεά. ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΒΛ, οὕτως ἡ ΖΗ πρὸς τὴν ΖΕ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ τῶν ΑΒ, ΒΓ, ΕΖ, ΖΗ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ τὸ ΒΜ παραλληλόγραμμον τῷ ΖΡ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΑΔ τῷ ΕΘ ὅμοιόν ἐστι, τὸ δὲ ΝΒ τῷ ΖΠ. ἀλλὰ τὰ μὲν ΒΝ, ΑΔ, ΒΜ τὰ τρία τοῖς ἀπεναντίον αὐτῶν τοῖς ΛΔ, ΜΝ, ΑΛ ἴσα ἐστί, τὰ δὲ ΖΡ, ΕΘ, ΠΖ τὰ τρία τοῖς ἀπεναντίον αὐτῶν τοῖς ΘΟ, ΕΟ, ΡΠ ἴσα ἐστίν. ὅλον ἄρα το

ΒΔΜΛ στερεὸν ὅλῳ τῷ ΖΘΡΟ στερεῷ ὅμοιόν ἐστι. τὰ δὲ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν. τὸ ΒΔΜΛ ἄρα στερεὸν πρὸς τὸ ΖΘΡΟ στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ. καί ἐστι τοῦ μὲν ΒΔΜΛ στερεοῦ ἕκτον μέρος ἡ ΑΒΓ πυραμὶς τοῦ ΖΘΡΟ στερεοῦ ἕκτον μέρος ἡ ΕΖΗΘ πυραμίς· καὶ ἡ ΑΒΓΔ ἄρα πυραμὶς πρὸς τὴν ΕΖΗΘ πυραμίδα τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΖΗ.

---

9 *Πᾶς κῶνος κυλίνδρου τρίτον μέρος ἐστὶ τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος καὶ ὕψος ἴσον.*

ἐχέτω γὰρ κῶνος κυλίνδρῳ βάσιν τὴν αὐτὴν τὸν ΑΒΓΔ κύκλον καὶ ὕψος ἴσον. λέγω, ὅτι τριπλάσιός ἐστιν ὁ κύλινδρος τοῦ κώνου.

εἰ γὰρ μή ἐστιν ὁ κύλινδρος τοῦ κώνου τριπλάσιος, ἔσται ἄρα ἤτοι μείζων ἢ τριπλάσιος ἢ ἐλάσσων ἢ τριπλάσιος. ἔστω πρότερον ὁ κύλινδρος τοῦ κώνου μείζων ἢ τριπλάσιος τῷ ΡΣ στερεῷ. καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓΔ κύκλον τετράγωνον τὸ ΑΒΓΔ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΑΒΓΔ τετραγώνου πρίσμα ἰσουψὲς τῷ κυλίνδρῳ. τὸ ἄρα ἀνεσταμένον πρίσμα μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κυλίνδρου. τετμήσθωσαν αἱ ΑΒ, ΒΓ, ΓΔ, ΔΑ περιφέρειαι δίχα κατὰ τὰ Ε, Ζ, Η, Θ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΑ, ΕΒ, ΒΖ, ΖΓ, ΓΗ, ΗΔ, ΔΘ, ΘΑ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΔΕΒ, ΒΖΓ, ΓΗΔ, ΔΘΑ τριγώνων πρίσματα ἰσουψὲς τῷ κυλίνδρῳ. ἕκαστον ἀνασταμένων πρισμάτων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ καθ' αὐτὸ τμήματος καὶ κυλίνδρου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κυλίνδρου, ἃ ἔσται ἐλάττονα τοῦ P στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν AEB, $BZΓ$, $ΓHΔ$, $ΔΘA$. λοιπὸν ἄρα τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ $AEBZΓHΔΘ$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστιν ἢ τριπλάσιον τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν $ABΓΔ$ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. ἀλλὰ τὸ πρίσμα, οὗ βάσις μέν ἐστι τὸ $AEBZΓHΔΘ$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, τριπλάσιόν ἐστι τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ $AEBZΓHΔΘ$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ $AEBZΓHΔΘ$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ, μεῖζόν ἐστι τοῦ κώνου τοῦ βάσιν μὲν ἔχοντος τὸν $ABΓΔ$ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κυλίνδρῳ. ἀλλὰ καὶ ἐμπεριέχεται ἐν αὐτῷ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ὁ κύλινδρος τοῦ κώνου μείζων ἐστὶν ἢ τριπλάσιος.

λέγω δή, ὅτι οὐδὲ ἐλάσσων ἢ τριπλάσιος.

εἰ γὰρ δυνατόν, ἔστω. ἀνάπαλιν ἄρα ὁ κῶνος τοῦ κυλίνδρου μείζων ἐστὶν ἢ τρίτον μέρος τῷ P στερεῷ, καὶ ἐγγεγράφθω εἰς τὸν $ABΓΔ$ κύκλον τετράγωνον τὸ $ABΓΔ$, καὶ ἀνεστάτω ἀπὸ τοῦ $ABΓΔ$ τετραγώνου πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ AB, $BΓ$, $ΓΔ$, $ΔA$ περιφέρειαι δίχα κατὰ τὸ $EZHΘ$ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ AE, EB, BZ, $ZΓ$, $ΓH$, $HΔ$, $ΔΘ$, $ΘA$, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν AEB, $BZΓ$, $ΓHΔ$, $ΔΘA$ τριγώνων πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τῶν καθ' αὐτὸ τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται ἔλαττον αὐτοῦ στερεοῦ. λελήφθω καὶ ἀνεστάτω ἐπὶ τῶν AEB, $BZ\Gamma$, $\Gamma H\Delta$, $\Delta\Theta A$. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ $AEBZ\Gamma H\Delta\Theta$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστιν ἢ τρίτον μέρος τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν $AB\Gamma\Delta$ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἀλλ' ἡ πυραμίς, ἧς βάσις μέν ἐστιν ἡ $AEBZ\Gamma H\Delta\Theta$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, τοῦ βάσιν μὲν ἔχοντος τὸ $AEBZ\Gamma H\Delta\Theta$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. καὶ τὸ πρίσμα ἄρα, οὗ βάσις μέν ἐστι τὸ $AEBZ\Gamma H\Delta\Theta$ πολύγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστι τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν $AB\Gamma\Delta$ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστι τοῦ κυλίνδρου τοῦ βάσιν μὲν ἔχοντος τὸν $AB\Gamma\Delta$ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἀλλὰ καὶ ἐμπεριέχεται ἐν αὐτῷ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ὁ κύλινδρος τοῦ κώνου ἐλάττων ἐστὶν ἢ τριπλάσιος. ἐδείχθη δέ, ὅτι οὐδὲ μείζων ἢ τριπλάσιος. τριπλάσιος ἄρα ἐστίν.

---

10 Οἱ ὅμοιοι κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ἐν ταῖς βάσεσι διαμέτρων.

ἔστωσαν ὅμοιοι κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μὲν ἔστωσαν οἱ $AB\Gamma\Delta$, $EZH\Theta$ κύκλοι, ἄξονες δὲ οἱ $K\Lambda$, MN, διάμετροι δὲ ἔστωσαν αἱ $B\Gamma$, $Z\Theta$. λέγω, ὅτι ὁ $AB\Gamma\Delta K\Lambda$ κῶνος πρὸς τὸν $EZH\Theta MN$ κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ $B\Delta$ πρὸς $Z\Theta$.

εἰ γὰρ μὴ ὁ $AB\Gamma\Delta K\Lambda$ κῶνος πρὸς τὸν $EZH\Theta MN$ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ $B\Delta$ πρὸς τὴν $Z\Theta$, ἕξει ἄρα ὁ $AB\Gamma\Delta K\Lambda$ κῶνος ἤτοι πρὸς ἔλασσόν τι τοῦ $EZH\Theta MN$ κώνου στερεὸν τριπλασίονα λόγον ἤπερ ἡ $B\Delta$ πρὸς τὴν $Z\Theta$ ἢ πρὸς τὸ μεῖζον. ἐχέτω πρότερον πρὸς ἔλασσον τὶ A, καὶ ἐγγεγράφθω εἰς τὸν $EZH\Theta$ κύκλον τετράγωνον τὸ $EZH\Theta$, καὶ ἀνεστάτω ἀπὸ τοῦ $EZH\Theta$ τετραγώνου πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ EZ, ZH, $H\Theta$, ΘE περιφέρειαι δίχα κατὰ τὰ Ξ, O, Π, P σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ $E\Xi$, ΞZ, ZO, OH, $H\Pi$, $\Pi\Theta$, ΘP, PE, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν $E\Xi$, ΞZ, ZO, OH, $H\Pi$, $\Pi\Theta$, ΘP, PE τριγώνων πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ καθ' αὑτὴν τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται ἐλάσσονα τοῦ A στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν $E\Xi Z$, ZOH, $H\Pi\Theta$, ΘPE. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ $E\Xi ZZOHH\Pi\Theta PE$ πολύγωνον, κορυφὴ δὲ τὸ N σημεῖον, μεῖζόν ἐστι τοῦ A στερεοῦ. ἐγγεγράφθω εἰς τὸν $AB\Gamma\Delta$ κύκλον τῷ $E\Xi ZOH\Pi\Theta PE$ πολυγώνῳ ὅμοιόν τε πολύγωνον τὸ $AEBT\Gamma\Upsilon\Delta\Phi A$, καὶ ἀνεστάτω ἀπὸ τοῦ $A\Sigma BT\Gamma\Upsilon\Delta\Phi$ πολυγώνου πρίσμα ἰσουψὲς τῷ κώνῳ, καὶ τῶν μὲν περιεχόντων τὴν πυραμίδα, ἧς βάσις μέν ἐστι τὸ $AEBT\Gamma\Upsilon\Delta\Phi$ πολύγωνον, κορυφὴ δὲ το Λ σημεῖον, τρίγωνον ἐφεστάτω τὸ $\Lambda\Sigma B$, τῶν δὲ περιεχόντων τὴν πυραμίδα, ἧς βάσις μέν ἐστι τὸ $E\Xi OH\Pi\Theta P$ πολύγωνον, κορυφὴ δὲ τὸ N σημεῖον ἐφεστάτω τὸ $NZ\Xi$ τρίγωνον, καὶ ἐπεζεύχθωσαν αἱ ΣK, $M\Xi$. ἐπεὶ ὅμοιοι κῶνοι καὶ κύλινδροί εἰσιν, ὧν ἀνάλογόν εἰσιν οἵ τε ἄξονες καὶ οἱ διάμετροι τῶν βάσεων, ἔστιν ἄρα ὡς ἡ $K\Lambda$ πρὸς τὴν MN, οὕτως ὁ $B\Delta$ πρὸς τὴν $Z\Theta$. ὡς δὲ ἡ $B\Delta$ πρὸς τὴν $Z\Theta$, οὕτως ἡ BK πρὸς τὴν MZ. ὡς ἄρα ἡ $K\Lambda$ πρὸς τὴν KB, *οὕτως ἡ ΜΝ πρὸς τὴν ΜΖ· καὶ περὶ ὀρθὰς γωνίας τὰς ὑπὸ τῶν ΔΚ, ΚΒ, ΜΝ, ΜΖ αἱ πλευραὶ ἀνάλογόν εἰσιν. ὅμοιον ἄρα ἐστὶ τὸ ΚΒΛ τρίγωνον τῷ ΜΝΖ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΚΛ πρὸς τὴν ΛΒ, οὕτως ἡ ΜΝ πρὸς τὴν ΖΝ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΚΛ πρὸς την ΜΝ, οὕτως ἡ ΛΖ πρὸς τὴν ΝΖ. πάλιν ἐπεί ἐστιν ὡς ἡ ΣΚ πρὸς τὴν ΚΛ, οὕτως ἡ ΜΞ πρὸς τὴν ΜΝ, καὶ περὶ ὀρθὰς γωνίας τὰς ὑπὸ τῶν ΣΚΛ, ΞΜΝ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ τὸ ΣΚΛ τρίγωνον τῷ ΞΜΝ τριγώνῳ. ἀνάλογον ἄρα ἐστίν, ὡς ἡ ΚΛ πρὸς τὴν ΜΝ, οὕτως ἡ ΛΣ πρὸς τὴν ΝΞ, ἐδείχθη δὲ καὶ ὡς ἡ ΛΚ πρὸς τὴν ΜΝ, οὕτως ἡ ΛΒ πρὸς τὴν ΝΖ· ὡς ἄρα ἡ ΛΒ πρὸς τὴν ΝΖ, οὕτως ἡ ΛΣ πρὸς τὴν ΝΞ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΒΚ πρὸς τὴν ΚΓ, οὕτως ἡ ΖΜ πρὸς τὴν ΜΞ, καὶ περὶ ἴσας γωνίας τὰς ὑπὸ τῶν ΒΚΣ, ΖΜΞ αἱ πλευραὶ ἀνάλογόν εἰσιν, ὅμοιον ἄρα ἐστὶ το ΒΚΣ τρίγωνον τῷ ΖΜΞ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΣΚ πρὸς ΣΒ, οὕτως ἡ ΞΜ πρὸς ΞΖ. ἀλλὰ μὴν καὶ ὡς ἡ ΣΚ πρὸς τὴν ΣΛ, οὕτως ἡ ΜΞ πρὸς τὴν ΞΝ. δι᾽ ἴσου ἄρα ἐστὶν ἡ ΛΣ πρὸς ΣΒ, οὕτως ἡ ΝΞ πρὸς τὴν ΞΖ. ἐναλλὰξ ἄρα ἐστίν, ὡς ἡ ΛΣ πρὸς τὴν ΝΞ, οὕτως ἡ ΣΒ πρὸς τὴν ΞΖ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΛΣ πρὸς τὴν ΝΞ, οὕτως ἡ ΛΒ πρὸς τὴν ΝΖ. ὡς ἄρα ἡ ΛΒ πρὸς τὴν ΝΖ, οὕτως ἡ ΛΣ πρὸς τὴν ΝΞ· ὅμοιον ἄρα ἐστὶ τὸ ΛΣΒ τρίγωνον τῷ ΝΞΖ τριγώνῳ. καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ ΚΒΣ τρίγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, ὁμοία ἐστὶ τῇ πυραμίδι τῇ βάσιν μὲν ἐχούσῃ τὸ ΜΞΖ τρίγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. αἱ δὲ ὅμοιαι πυραμίδες καὶ τριγώνους βάσεις ἔχουσαι πρὸς ἀλλήλας ἐν τρι-*

πλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. ἡ ἄρα πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΒΚΣ* τρίγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΜΖΞ* τρίγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΚ* πρὸς τὴν *ΖΜΘ*. καὶ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ *ΚΒΣ* τρίγωνον, κορυφὴ δὲ τὸ *Δ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΜΞΖ* τρίγωνον, κορυφὴν δὲ το *Ν* σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΘΖ*. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἑκάστη τῶν λοιπῶν πυραμίδων, ὧν βάσεις μέν εἰσι τὰ *ΣΚ*, *ΜΚ*, *ΦΚΛ*, *ΚΔΥ*, *ΥΚΓ*, *ΚΓΤ*, *ΚΤΒ* τὰ τρίγωνα, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς ἑκάστην τῶν πυραμίδων, ὧν βάσεις μέν εἰσι τὰ *ΞΜΕ*, *ΕΜΡ*, *ΜΘΡ*, *ΜΘΠ*, *ΜΠΝ*, *ΗΜΘ*, *ΜΟΖ* τὰ τρίγωνα, κορυφὴ δὲ τὸ *Ν* σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ*. καὶ ἡ πυραμὶς ἄρα, ἧς βάσις μέν ἐστι τὸ *ΑΣΒΤΓΜΟΦΑ* πολύγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΕΞΞΟΗΠΘΡ* πολύγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ*. καὶ ἐπεὶ ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸ *Α* στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ*, ἔχει δὲ καὶ ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΓΒΠΥΦΔ* πολύγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ *ΕΞΞΘΗΠΘΡ* πολύγωνον, κορυφὴν δὲ τὸ *Ν* σημεῖον, τριπλασίονα λόγον ἔχει ἤπερ ἡ *ΒΔ* πρὸς τὴν *ΖΘ*, ἔστιν ἄρα, ὡς ὁ *ΑΒΓΔΚΛ* κῶνος πρὸς τὸ *Α* στερεόν, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ *ΑΣΒΤΓΥΔΦ* πολύγωνον, κορυφὴ δὲ τὸ *Λ* σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν *μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ἐναλλὰξ ἄρα ἐστίν, ὡς ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΑΣΒΓΠΥΔΦ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, οὕτως τὸ Α στερεὸν πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. μείζων δὴ ὁ ΑΒΓΔΚΛ κῶνος τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΑΣΒΠΥΦΔ πολύγωνον, κορυφὴν δὲ τὸ Λ σημεῖον. μεῖζον ἄρα καὶ τὸ Α στερεὸν τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ἀλλὰ καὶ ἐλάττων· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘΜΝ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. λέγω δή, ὅτι οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς τὸ Α. ἀνάπαλιν ἄρα τὸ Α στερεὸν πρὸς τὸν ΑΒΓΔΚΛ κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΔΒ. ὡς δὲ τὸ Α στερεὸν πρὸς τὸν ΑΒΓΔΚΛ κῶνον, οὕτως ὁ ΕΖΗΜΜΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΚΛ κώνου στερεόν. ὁ ΕΖΗΘΜΝ ἄρα κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΚΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΜΝ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττόν τι. ὁ ΑΒΓΔΚΛ ἄρα κῶνος πρὸς τον ΕΖΗΘΜΝ κῶνον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ.*

---

11 *Οἱ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡν αἱ βάσεις.*

ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι, ὧν αἱ βάσεις ἔστωσαν οἱ ΑΒΓΔ, ΕΖΗΘ κύκλοι, ἄξονες δὲ οἱ ΚΛ, ΜΝ, διάμετροι δὲ τῶν βάσεων ἔστωσαν αἱ ΖΔ, ΖΘ. λέγω, ὅτι ἐστίν, ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ[1]) κῶνος πρὸς τὸν ΕΖΗΘΝ κῶνον. εἰ γὰρ μή ἐστιν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔ κῶνος πρὸς τὸν ΕΖΗΘ, ἔσται ὁ ΑΒΓΔΚΛ κῶνος ἤτοι πρὸς ἔλαττόν τι τοῦ ΕΖΗΘ κώνου στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρότερον πρὸς ἔλαττον τὸ Α στερεόν, καὶ ἐγγεγράφθω εἰς τὸν ΕΖΗΘ κύκλον τετράγωνον τὸ ΕΖΗΘ, καὶ ἀνεστάτω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώνῳ. ἡ ἄρα ἀνεσταμένη πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ κώνου. τετμήσθωσαν αἱ ΕΖ, ΖΗ, ΗΘ περιφέρειαι δίχα κατὰ τὰ Ξ, Ο, Π, Ρ σημεῖα, καὶ ἐπεζεύχθωσαν αἱ ΕΞ, ΞΖ, ΖΘ, ΘΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΣ, καὶ ἀνεστάτω ἀφ' ἑκάστου τῶν ΕΞ, ΞΖ, ΖΘ, ΘΗ, ΗΠ, ΠΘ, ΘΡ, ΡΣ τριγώνων πυραμὶς ἰσοϋψὴς τῷ κώνῳ. ἑκάστη ἄρα τῶν ἀνεσταμένων πυραμίδων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ καθ' αὐτὴν τμήματος τοῦ κώνου. τοιαύτης δὴ γινομένης ἀεὶ ἐπισκέψεως ληφθήσεταί τινα τμήματα ἀπὸ τοῦ ὅλου κώνου, ἃ ἔσται ἐλάττονα τῆς ὑπεροχῆς, ἧς ὑπερέχει ὁ ΖΘΜΝ κύκλος τοῦ Α στερεοῦ. λελήφθω καὶ ἔστω τὰ ἐπὶ τῶν ΕΞΖ, ΘΗΠ, ΘΡΕ. λοιπὴ ἄρα ἡ πυραμίς, ἧς βάσις μὲν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴ δὲ τὸ Ν σημεῖον, μεῖζόν ἐστι τοῦ Α στερεοῦ. ἐγγεγράφθω δὴ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΕΞΖΟΗΠΘΡ πολυγώνῳ ὅμοιον

---

1) Λ supra scr. m. 1.

πολύγωνον τὸ ΑΓΒΤΓΥΔΦ πυραμὶς ἰσουψὴς τῷ κώνῳ. ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, ἀλλὰ μὴν καὶ ὡς τὸ ἀπὸ τῆς ΒΔ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΘ τετράγωνον, οὕτως τὸ ΑΣΒΠΥΔΦ πολύγωνον πρὸς τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον πρὸς τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον. ἀλλ' ὡς μὲν ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὸ Λ στερεόν, ὡς δὲ τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον πρὸς τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ὡς ἄρα ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὸ Λ στερεόν, οὕτως ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, κορυφὴν δὲ τὸ Λ σημεῖον, οὕτως τὸ Λ στερεὸν πρὸς τὴν πυραμίδα τὴν βάσιν μὲν ἔχουσαν τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν δὲ τὸ Ν σημεῖον. μείζων δὲ ὁ ΑΒΓΔΚΛ κῶνος τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΑΣΒΤΓΥΔΦ πολύγωνον, κορυφὴν δὲ τὸ Λ σημεῖον. μεῖζον ἄρα καὶ τὸ Λ στερεὸν τῆς πυραμίδος τῆς βάσιν μὲν ἐχούσης τὸ ΕΞΖΟΗΠΘΡ πολύγωνον, κορυφὴν *δὲ τὸ N σημεῖον. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΚΛ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΕΖΘΝ κώνου στερεόν.*

λέγω δὴ οὐδὲ πρὸς μεῖζον. εἰ γὰρ δυνατόν, ἔστω πρὸς μεῖζον τὸ Δ. ἀνάπαλιν ἄρα ἐστὶν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως τὸ Δ στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον. ὡς δὲ τὸ Δ στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον, οὕτως ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔΛ κώνου στερεόν. ὡς ἄρα ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον, οὕτως ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλαττόν τι τοῦ κώνου τοῦ ΑΒΓΔΛ[1]) *στερεοῦ· ὅπερ ἀδύνατον δέδεικται. οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΝ κώνου στερεόν. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἔλαττον. ἔστιν ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κῶνος πρὸς τὸν ΕΖΗΘΝ κῶνον. καί ἐστι μὲν κύλινδρος ὁ βάσιν ἔχων τὸν ΑΒΓΔ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ, τριπλάσιος τοῦ ΑΒΓΔΛ κώνου, τοῦ δὲ ΕΖΗΘΝ κώνου τριπλάσιος ὁ κύλινδρος ὁ βάσιν μὲν ἔχων τὸν ΕΖΗΘ κύκλον, ὕψος δὲ τὸ αὐτὸ τῷ κώνῳ. ἔστιν ἄρα ὡς ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΒΓΔΛ κύλινδρος πρὸς τὸν ΕΖΗΘΝ κύλινδρον.*

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς 12 *ἀπεναντίον ἐπιπέδοις, ἔσται ὡς ὁ κύλινδρος πρὸς τὸν κύλινδρον, οὕτως ὁ ἄξων πρὸς τὸν ἄξονα.*

---

1) *Λ* supra scr. m. 1.

κύλινδρος γὰρ ὁ ΑΔ ἐπιπέδῳ τῷ ΗΘ τετμήσθω παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις τοῖς ΑΒ, ΓΔ, καὶ συμβαλλέτω τῷ τοῦ κυλίνδρου ἄξονι τὸ ΗΘ ἐπίπεδον κατὰ τὸ Κ σημεῖον. λέγω, ὅτι ἐστὶν ὡς ὁ ΗΘ κύλινδρος πρὸς τὸν ΗΔ κύλινδρον, οὕτως ὁ ΕΚ ἄξων. ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Λ, Μ σημεῖα, καὶ κείσθωσαν τῷ μὲν ΕΚ ἄξονι ἴσοι ὁσοιδήποτε ὁ ΖΞ, ΖΜ, καὶ ἐκβεβλήσθω διὰ τῶν Λ, Ν, Ξ, Μ[1]) σημείων ἐπίπεδα παράλληλα τοῖς ΑΒ, ΓΔ, καὶ νενοήσθωσαν ἐν τοῖς διὰ τῶν Λ, Ν, Ξ, Μ σημείων ἐπιπέδοις περὶ κέντρα τὰ Λ, Ν, Ξ, Μ κύκλοι οἱ ΟΠΡΣ, ΤΥΦΧ ἴσοι ὄντες τοῖς ΑΒΓΔ, καὶ νενοήσθωσαν κύλινδροι οἱ ΠΡ, ΡΒ, ΔΤ, ΤΧ. καὶ ἐπεὶ οἱ ΛΝ, ΝΕ, ΕΚ ἄξονες ἴσοι εἰσὶν ἀλλήλοις, οἱ ἄρα ΠΡ, ΗΡ, ΒΗ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἴσαι δὲ ἀλλήλαις εἰσὶν αἱ βάσεις. ἴσοι ἄρα εἰσὶ καὶ οἱ ΠΡ, ΡΒ, ΒΗ κύλινδροι ἀλλήλοις. καὶ ἐπεὶ οἱ ΛΝ, ΝΕ, ΕΚ ἄξονες ἴσοι εἰσὶν ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ ΠΡ, ΡΒ, ΒΗ κύλινδροι ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῷ πλήθει, ὁσαπλασίων ἄρα ἐστὶν ὁ ΛΚ ἄξων τοῦ ΕΚ ἄξονος, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΒΗ κυλίνδρου. διὰ τὰ αὐτὰ δὴ καὶ ὁσαπλασίων ἐστὶν ὁ ΜΚ ἄξων τοῦ ΚΖ ἄξονος, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΧΗ κύλινδρος τοῦ ΗΔ κυλίνδρου. εἰ μὲν οὖν ἴσος ἐστὶν ὁ ΛΚ ἄξων τῷ ΚΜ ἄξονι, ἴσος ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τῷ ΗΧ κυλίνδρῳ, εἰ δὲ μείζων ἐστὶν ὁ ΚΛ ἄξων τοῦ ΚΜ ἄξονος, μείζων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου, εἰ δὲ ἐλάσσων ἐστὶν ὁ ΛΚ ἄξων τοῦ

1) *Λ* in ras.; supra *Ν* scr. *Μ* m. 1.

ΚΜ ἄξονος, ἐλάσσων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου. τεσσάρων δὴ μεγεθῶν ὄντων, ἀξόνων μὲν τῶν ΕΚ, ΚΖ, κυλίνδρων τῶν ΒΗ, ΗΔ, εἴληπται ἰσάκις πολλαπλάσια τοῦ μὲν ΕΚ ἄξονος καὶ ΒΗ κυλίνδρου ὅ τε ΚΛ ἄξων καὶ ὁ ΠΗ κύλινδρος, τοῦ δὲ ΚΖ ἄξονος καὶ τοῦ ΗΔ κυλίνδρου ὅ τε ΚΜ ἄξων καὶ ὁ Η κύλινδρος, καὶ δέδεικται, ὅτι, εἰ ὑπερέχει ὁ ΛΚ ἄξων τοῦ ΚΜ ἄξονος, ὑπερέχει καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου, καὶ εἰ ἴσος ἐστὶν ὁ ΚΛ ἄξων τῷ ΚΜ ἄξονι, ἴσος ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τῷ ΗΧ κυλίνδρῳ, καὶ εἰ ἐλάσσων ἐστὶν ὁ ΛΚ ἄξων τοῦ ΚΜ ἄξονος, ἐλάσσων ἐστὶ καὶ ὁ ΠΗ κύλινδρος τοῦ ΗΧ κυλίνδρου, ἔστιν ἄρα ὡς ὁ ΕΚ ἄξων πρὸς τὸν ΚΖ ἄξονα, οὕτως ὁ ΒΗ κύλινδρος πρὸς τὸν ΗΔ κύλινδρον.

Οἱ ἐπὶ ἴσων βάσεων ὄντες κῶνοι καὶ κύλινδροι 13
πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ὕψη.

ἔστωσαν γὰρ ἐπὶ ἴσων βάσεων τῶν ΑΒ, ΓΔ κύλινδροι οἱ ΕΒ, ΖΔ. λέγω, ὅτι ἐστὶν ὡς ὁ ΗΒ ἄξων πρὸς τὸν ΚΛ ἄξονα, οὕτως ὁ ΕΒ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον.

ἐκβεβλήσθω γὰρ ο ΚΛ ἄξων ἐπὶ τὸ Ν σημεῖον, καὶ κείσθω τῷ ΗΘ ἄξονι ἴσος ο ΛΝ, καὶ περὶ ἄξονα τὸν ΛΝ κύλινδρος νοείσθω ὁ ΓΜ. ἐπεὶ οὖν οἱ ΕΒ, ΓΜ κύλινδροι ὑπὸ τὸ αὐτό εἰσιν ὕψος, πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἴσαι δέ εἰσιν αἱ βάσεις. ἴσος ἄρα καὶ ὁ ΒΕ κύλινδρος τῷ ΓΜ κυλίνδρῳ. καὶ ἐπεὶ κύλινδρος ὁ ΖΜ ἐπιπέδῳ τῷ ΓΔ τέτμηται παραλλήλῳ ὄντι τοῖς ἀπεναντίον ἐπιπέδοις, ἔστιν ἄρα ὡς ὁ ΓΜ κύλινδρος πρὸς τὸν ΖΔ κύλινδρον, οὕτως ὁ ΛΝ πρὸς τὸν *ΚΛ* ἄξονα. ἴσος δέ ἐστιν ὁ μὲν *ΓΜ* κύλινδρος τῷ *ΕΒ* κυλίνδρῳ, ὁ δὲ *ΛΜ* ἄξων τῷ *ΗΘ* ἄξονί ἐστιν. ἔστιν ἄρα ὡς ὁ *ΕΒ* κύλινδρος πρὸς τὸν *ΖΔ* κύλινδρον, οὕτως ὁ *ΗΘ* ἄξων πρὸς τὸν *ΚΛ* ἄξονα. ὡς δὲ ὁ *ΒΕ* κύλινδρος πρὸς τὸν *ΖΔ* κύλινδρον, οὕτως ὁ *ΑΒΗ* κῶνος πρὸς τὸν *ΓΔΚ* κῶνον. καὶ ὡς ἄρα ὁ *ΗΘ* ἄξων πρὸς τὸν *ΚΛ* ἄξονα, οὕτως ὅ τε *ΑΒΗ* κῶνος πρὸς τὸν *ΓΔΚ* κῶνον καὶ ὁ *ΕΒ* κύλινδρος πρὸς τὸν *ΖΔ* κύλινδρον.

---

14 Τῶν ἴσων κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ὧν κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἐκεῖνοι ἴσοι εἰσίν.

ἔστωσαν ἴσοι κῶνοι καὶ κύλινδροι, ὧν βάσεις μὲν οἱ *ΑΒΓΔ* κύκλοι, ἄξονες δὲ οἱ *ΕΖ*, *ΗΘ*. λέγω, ὅτι τῶν *ΑΒΖ*, *ΓΔΘ* κώνων καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, τουτέστιν ὡς ἡ *ΑΒ* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *ΗΘ* ὕψος πρὸς τὸ *ΕΖ* ὕψος.

τὸ γὰρ *ΕΖ* ὕψος τῷ *ΗΘ* ὕψει ἤτοι ἴσον ἐστὶν ἢ οὔ. ἔστω πρότερον ἴσον. οἱ δὲ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ βάσεις. ἔστιν ἄρα ὡς ὁ *ΑΒΖ* κῶνος ἢ κύλινδρος πρὸς τὸν *ΓΔΘ* κῶνον ἢ κύλινδρον, οὕτως ἡ *ΑΒ* βάσις πρὸς τὴν *ΓΔ* βάσιν. ἴσος δέ ἐστιν ὁ *ΑΒΖ* κῶνος ἢ κύλινδρος τῷ *ΚΔΘ* κώνῳ ἢ κυλίνδρῳ. ἴση ἄρα καὶ ἡ *ΑΒ* βάσις τῇ *ΓΔ* βάσει. ἔστι δὲ καὶ τὸ *ΕΖ* ὕψος τῷ *ΗΘ* ὕψει ἴσον. ἔστιν ἄρα ὡς ἡ *ΑΕ* βάσις πρὸς τὴν *ΓΔ* βάσιν, οὕτως τὸ *ΗΘ* ὕψος πρὸς τὸ *ΕΖ* ὕψος. μὴ ἔστω δὴ ἴσον τὸ *ΗΘ* ὕψος τῷ *ΕΖ* ὕψει, ἀλλ' ἔστω μεῖζον τὸ *ΗΘ*, καὶ κείσθω τὸ *ΕΖ* *ἴσον τῷ ΗΚ, καὶ ἀπὸ βάσεως τῆς ΓΔ, ὕψους δὲ τοῦ ΗΚ νενοήσθω κῶνος ἢ κύλινδρος ὁ ΓΔΚ. ἐπεὶ οὖν ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΓΔ κώνῳ ἢ κυλίνδρῳ ὑπὸ τὸ αὐτὸ ὕψος ἐστὶν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς ΓΔΚ κῶνον ἢ κύλινδρον. ἴσος δὲ ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΓΔΘ κώνῳ ἢ κυλίνδρῳ. ἔστιν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως ὁ ΓΔΘ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον. ὡς δὲ ὁ ΓΔΘ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος. καὶ ὡς ἄρα ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος. ἴσον δὲ τὸ ΗΚ ὕψος τῷ ΕΖ ὕψει. ἔστιν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος. τῶν ΑΒΖ, ΓΔΘ ἄρα κώνων ἢ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν.*

ἀλλὰ δὴ ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς ὕψεσιν, καὶ ἔστω ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος. λέγω, ὅτι ἴσος ἐστὶν ὁ ΑΒΞ κῶνος ἢ κύλινδρος τῷ ΓΘΔ κώνῳ ἢ κυλίνδρῳ. πάλιν γὰρ τὸ ΕΖ ὕψος τῷ ΗΘ ὕψει ἤτοι ἴσον ἐστὶν ἢ οὔ. ἔστω πρότερον ἴσον. ἔστιν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΘ κῶνον ἢ κύλινδρον. ὡς δὲ ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος. καὶ ὡς ἄρα ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΘ κῶνον ἢ κύλινδρον, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος. ἴσον δὲ τὸ ΗΘ ὕψος τῷ ΕΖ ὕψει. ἴσος ἄρα καὶ ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΓΔΘ κώνῳ ἢ κυλίνδρῳ. μὴ ἔστω δὴ ἴσον τὸ ΕΖ ὕψος τῷ ΗΘ ὕψει, καὶ ἔστω μεῖζον τὸ ΗΘ τῷ ΕΖ, καὶ κείσθω τὸ ΕΖ ἴσον τῷ ΗΚ. ἔστιν ἄρα ὡς ἡ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον. ὡς δὲ ὁ ΑΒ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΕΖ ὕψος, τουτέστι πρὸς τὸ ΗΚ. καὶ ὡς ἄρα ὁ ΑΖΒ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον, οὕτως τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος, ὡς δὲ τὸ ΗΘ ὕψος πρὸς τὸ ΗΚ ὕψος, οὕτως ὁ ΓΔΘΔΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔ κῶνον ἢ κύλινδρον. καὶ ὡς ἄρα ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον, οὕτως ὁ ΓΔΘ κῶνος ἢ κύλινδρος πρὸς τὸν ΓΔΚ κῶνον ἢ κύλινδρον. τὰ δὲ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἐστίν. ἴσος ἄρα ὁ ΑΒΖ κῶνος ἢ κύλινδρος τῷ ΓΔΘ κώνῳ ἢ κυλίνδρῳ· ὅπερ ἔδει δεῖξαι.

---

15 Δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὄντων εἰς τὸν μείζονα κύκλον πολύγωνον ἰσόπλευρον ἐγγράψαι μὴ ψαῦον τοῦ ἐλάσσονος κύκλου.

ἔστωσαν δύο κύκλοι περὶ τὸ αὐτὸ κέντρον οἱ ΑΒΓ, ΔΕΖ. δεῖ δὴ εἰς τὸν μείζονα κύκλον τὸν ΑΒΓΔ πολύγωνον ἰσόπλευρον ἐγγράψαι μὴ ψαῦον τοῦ ἐλάττονος κύκλου τοῦ ΕΖ.

ἤχθωσαν τῶν ΑΒΓ, ΔΕΖ κύκλων δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΓ, ΔΒ, καὶ ἤχθω ἀπὸ τοῦ Ζ τῇ ΑΓ πρὸς ὀρθὰς ἡ ΖΗ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ ΖΘ. ἐφάπτεται ἄρα τοῦ ΕΖ κύκλου. τέμνοντες δὴ τὴν ΓΔ περιφέρειαν δίχα καὶ τὴν ἡμίσειαν τῆς ΓΔ δίχα καὶ τοῦτο ἀεὶ ποιοῦντες καταλήψομέν τινα περιφέρειαν, ἥτις ἔσται ἐλάσσων τῆς ΗΓ. λελήφθω καὶ ἔστω ἡ $K\Gamma$, καὶ ἤχθω ἀπὸ τοῦ K σημείου ἐπὶ τὴν $A\Gamma$ κάθετος ἡ $K\Lambda$ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ M, καὶ ἐπεζεύχθωσαν αἱ $K\Gamma$, ΓM. ἑκατέρα ἄρα τῶν $K\Gamma$, ΓM πολυγώνου ἰσοπλεύρου ἐστὶ πλευρὰ τοῦ εἰς τὸν $AB\Gamma\Delta$ ἐγγραφομένου. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ $H\Theta$ τῇ KM, ἡ δὲ $H\Theta$ ἐφάπτεται τοῦ EZ κύκλου, ἡ KM ἄρα οὐκ ἐφάπτεται τοῦ EZ κύκλου. πολλῷ ἄρα οὐδετέρα τῶν $K\Gamma$, ΓM ἐφάπτεται τοῦ EZ κύκλου. ἐὰν ἄρα τῇ $K\Gamma$ περιφερείᾳ ἴσας περιφερείας ἀφαιρῶμεν κατὰ τὸ ἑξῆς καὶ ἐπιζευγνύομεν εὐθείας, ἔσται εἰς τὸν $AB\Gamma\Delta$ κύκλον πολύγωνον ἰσόπλευρον ἐγγεγραμμένον μὴ ψαῦον τοῦ ἐλάσσονος κύκλου τοῦ EZ, καὶ φανερόν, ὅτι τὸ ἐγγραφόμενον πολύγωνον ἀρτιόπλευρόν ἐστιν· ὅπερ ἔδει δεῖξαι.

Δύο σφαιρῶν περὶ τὸ αὐτὸ κέντρον οὐσῶν εἰς τὴν 16
μείζονα σφαῖραν στερεὸν πολύεδρον ἢ καὶ ἀρτιόπλευρον ἐγγράψαι μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας κατὰ τὴν ἐπιφάνειαν.

ἐννοείσθωσαν δύο σφαῖραι περὶ τὸ αὐτὸ κέντρον οὖσαι τὸ A. δεῖ δὴ εἰς τὴν μείζονα σφαῖραν στερεὸν πολύεδρον καὶ ἀρτιόπλευρον ἐγγράψαι μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας. τετμήσθωσαν αἱ σφαῖραι ἐπιπέδῳ διὰ τοῦ κέντρου. ποιήσει δὴ τομὰς μεγίστους κύκλους. ποιείτω τοὺς $AB\Gamma\Delta$, EZH, καὶ ἔστω ὁ μὲν $B\Gamma\Delta$ κύκλος ἐν τῇ μείζονι σφαίρᾳ, ὁ δὲ EZH ἐν τῇ ἐλάσσονι. καὶ ἤχθωσαν τοῦ $B\Gamma\Delta$ κύκλου δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις αἱ BE, $\Gamma\Delta$. καὶ δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὄντων $B\Gamma\Delta$, EZH εἰς τὸν μείζονα κύκλον τὸν $B\Gamma\Delta$ πολύγωνον ἰσόπλευρόν τε καὶ ἀρτιόπλευρον ἐγγεγράφθω μὴ ψαῦον τοῦ ἐλάσσονος *κύκλου τοῦ ΕΖΗ, καὶ ἔστωσαν πλευραὶ τοῦ πολυγώνου αἱ ΒΚ, ΚΛ, ΛΜ, ΜΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΜΛ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ ἀνεστάτω ἀπὸ τοῦ Λ σημείου τῷ τοῦ ΒΓΔ κύκλου ἐπιπέδῳ πρὸς ὀρθὰς ἡ ΛΝ καὶ συμβαλλέτω τῇ ἐπιφανείᾳ τῆς μείζονος σφαίρας κατὰ τὸ Ν σημεῖον, καὶ δι' ἑκατέρας τῶν ΓΔ, ΜΞ καὶ τῆς ΛΝ ἐπίπεδα ἐκβεβλήσθω. ποιήσει δὴ τομὰς κύκλους. ποιείτω, ὧν ἡμικύκλια ἔστω τὰ ΓΝΔ, ΜΝΞ. καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΓΔ, ΓΝΔ, ΜΝΞ κύκλοι ἀλλήλοις, ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΒΓ τεταρτημορίῳ πλευραὶ τοῦ πολυγώνου, τοσαῦταί εἰσι καὶ ἐν ἑκατέρῳ τῷ ΓΝ, ΜΝ τῇ ΜΓ ἴσαι. ἐνηρμόσθωσαν καὶ ἔστωσαν αἱ ΓΟ, ΟΠ, ΠΡ, ΡΝ, ΝΣ, ΣΤ, ΤΥ, ΥΜ, καὶ ἐπεζεύχθωσαν αἱ ΥΟ, ΤΠ, ΣΡ, καὶ ἀπὸ μὲν τοῦ Ο ἐπὶ τὴν ΓΔ κάθετος ἤχθω ἡ ΟΦ, ἀπὸ δὲ τοῦ Υ ἐπὶ τὴν ΜΞ ἡ ΥΧ, καὶ ἐπεζεύχθω ἡ ΦΧ. ἐπεὶ οὖν ἡ ΝΛ ὀρθή ἐστι πρὸς τὸ ΒΓ ἐπίπεδον, καὶ πάντα ἄρα τὰ διὰ τῆς ΝΛ ἐπίπεδα ὀρθά ἐστι πρὸς τὸ ΒΓ ἐπίπεδον. ἓν δέ τι τῶν διὰ τῆς ΝΛ ἐπιπέδων ἐστὶν ἡ ΓΝΔ κύκλος. ὁ ΓΝΔ ἄρα κύκλος ὀρθός ἐστι πρὸς τὸν ΒΓΔ κύκλον. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΜΝΞ κύκλος ὀρθός ἐστι πρὸς τὸν ΒΓΔ κύκλον. καὶ ἐπεὶ τὸ ΓΝΔ ἐπίπεδον ὀρθόν ἐστι πρὸς τὸ ΒΓΔ, καὶ τῇ κοινῇ τομῇ αὐτῶν τῇ ΓΔ πρὸς ὀρθὰς ἦκται ἐν τῷ ΓΝΔ ἐπιπέδῳ ἡ ΟΦ, ἡ ΟΦ ἄρα καὶ τῷ ΒΓΔ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΥΧ τῷ ΒΓΔ ἐπιπέδῳ ἐστὶ πρὸς ὀρθάς. παράλληλος ἄρα ἐστὶν ἡ ΟΦ τῇ ΥΧ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΥΜ τῇ ΟΓ, ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΥΜ τετράγωνον τῷ ἀπὸ τῆς ΟΓ τετραγώνῳ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΟΓ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν ΔΓΦ, τῷ δὲ ἀπὸ τῆς ΥΜ ἴσον ἐστὶ* *τὸ ἀπὸ τῆς*[1]) *ΞΜΧ. καὶ τὸ ὑπὸ τῶν ΔΓΦ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΞΜΧ καὶ ΔΓΦ*[2]) *τῷ ὑπὸ τῶν ΞΜΧ. καί ἐστιν ἴση ἡ ΔΓ τῇ ΞΜ. ἴση ἄρα ἐστὶ καὶ ἡ ΓΦ τῇ ΜΧ. ἔστι δὲ καὶ ὅλη ἡ ΓΑ ὅλῃ τῇ ΑΜ ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΦΧ τῇ ΜΓ. πάλιν ἐπεὶ τὸ ἀπὸ τῆς ΕΓΘ τετράγωνον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΥ τετραγώνῳ, ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΓΟ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΓΦ, ΦΟ· ἴση γὰρ ἡ ὑπὸ ΓΦΟ γωνία· τῷ δ' ἀπὸ τῆς ΜΥ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΜΧ, ΧΥ· ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΜΧΟ γωνία· καὶ τὰ ἀπὸ τῶν ΓΦ, ΦΟ ἄρα ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΜΧ, ΧΥ, ὧν τὸ ἀπὸ τῆς ΓΦ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΧ. λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΦΟ λοιπῷ τῷ ἀπὸ τῆς ΧΥ ἐστιν ἴσον. ἴση ἄρα ἐστὶν ἡ ΦΟ τῇ ΥΧ. ἔστι δὲ αὕτη καὶ παράλληλος. καὶ αἱ ΦΧ, ΟΥ ἄρα ἴσαι τέ εἰσι καὶ παράλληλοι. ἡ ἄρα ΦΧ τῇ ΓΜ ἐστι παράλληλος. καὶ ἡ ΓΜ ἄρα τῇ ΟΥ ἐστι παράλληλος. καὶ ἐφ' ἑκατέρας αὐτῶν εἴληπται τυχόντα σημεῖα τὰ Ν, Μ, Ο, Γ, καὶ ἐπεζευγμέναι εἰσὶν αἱ ΜΥ, ΓΟ. αἱ ἄρα ΥΜ, ΜΓ, ΓΟ, ΟΥ ἐν τούτῳ ἐστὶ καὶ τὸ ΥΜΓΟ τετράπλευρον. τὸ ἄρα ΥΜΓΟ τετράπλευρον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάτερον τῶν ΥΟΠΤ, ΡΣ τετραπλεύρων ἐν ἑνί ἐστιν ἐπιπέδῳ. ἔστι δὲ καὶ τὸ ΣΡΝ τρίγωνον ἐν ἑνὶ ἐπιπέδω. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΥ τῇ ΓΟ, καὶ παράλληλός ἐστιν ἡ ΜΓ τῇ ΥΟ, ἐν κύκλῳ ἄρα ἐστὶ τὰ Μ, Γ, Υ, Ο σημεῖα. ἤχθω ἀπὸ τοῦ Α σημείου ἐπὶ τὸ τοῦ ΜΓΥΟ τετραπλεύρου ἐπίπεδον κάθετος ἡ ΑΨ καὶ συμβαλλέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Ψ. τὸ Ψ ἄρα σημεῖον κέν-*

1) ἀπὸ τῆς corr. in ὑπὸ τῶν m. 1.
2) Φ corr. ex *X* m. 1.

τρον ἐστὶ τοῦ περὶ τὰ Μ, Γ, Ο, Υ σημεῖα κύκλου. ἐπεζεύχθω ἡ ΨΓ. καὶ ἐπεὶ τετράπλευρον ἐν κύκλῳ ἐστὶ τὸ ΜΓΟΥ, καὶ τρεῖς αἱ ΥΜ, ΜΓ, ΓΟ ἴσαι ἀλλήλαις εἰσίν, καὶ μείζων ἐστὶν ἡ ΜΓ τῆς ΥΟ, τὸ ἄρα ἀπὸ τῆς ΜΓ τοῦ ἀπὸ τῆς ΓΦ μεῖζόν ἐστιν ἢ διπλάσιον. ἤχθω ἀπὸ τοῦ ΜΕ ἐπὶ τὴν ΓΦ κάθετος ἡ ΜΩ. καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἡ ΓΩ τῆς ΩΔ, ὡς δὲ ἡ ΓΩ πρὸς τὴν ΩΔ, οὕτως τὸ ἀπὸ τῆς ΓΩ τοῦ ἀπὸ τῆς ΩΜ, τὰ ἄρα ἀπὸ τῶν ΓΩ, ΩΜ ἐλάσσονά ἐστι τοῦ δὶς ἀπὸ τῶν ΜΩ. ἀλλὰ τὸ ἀπὸ τῶν ΓΩ, ΩΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΓ. τὸ ἄρα ἀπὸ τῆς ΜΓ ἔλασσόν ἐστι τοῦ δὶς ἀπὸ τῶν ΜΩ. τὸ δὲ ἀπὸ τῆς ΜΓ τοῦ ἀπὸ τῆς ΓΨ μεῖζόν ἐστιν ἢ διπλάσιον. τὸ ἄρα ἀπὸ τῆς ΜΩ τοῦ ἀπὸ τῆς ΓΨ μεῖζόν ἐστιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΓΑ τῇ ΑΜ, ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓΘ τῷ ἀπὸ τῆς ΑΜ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΓΑ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΓΨ, ΨΑ. ὀρθὴ γάρ ἐστιν ἡ πρὸς τῷ Ψ γωνία. τῷ δὲ ἀπὸ τῆς ΜΑ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΜΩ, ΩΑ. ὀρθὴ γάρ ἐστιν ἡ ὑπὸ ΜΩΑ γωνία. τὰ ἀπὸ τῶν ΓΨ, ΨΑ ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν ΜΩ, ΩΑ, ὧν τὸ ἀπὸ τῆς ΜΩ μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΓΨ. λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΨΑ μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς ΑΩ. μείζων αρα ἡ ΨΑ τῆς ΑΩ· ἡ δὲ ΑΩ μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας. πολλῷ ἄρα ἡ ΨΑ μείζων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τῆς ἐλάσσονος σφαίρας. καὶ ἡ ΑΨ κάθετος ἐπὶ τὸ ΜΓΟΥ ἐπίπεδόν ἐστιν. τὸ ἄρα ΜΓΟΥ ἐπίπεδον οὐ ψαύει τῆς ἐλάσσονος σφαίρας. διὰ τὰ αὐτὰ δὴ καὶ ἑκάτερον τῶν ΥΟΠΤ, ΤΠΡΣ τετραπλεύρων οὐ ψαύει τῆς ἐλάσσονος σφαίρας, οὐδὲ τὸ ΝΣΡ τρίγωνον ψαύει τῆς ἐλάσσονος σφαίρας. ἐὰν δὴ ἐν ἑκάστῃ τῶν λοιπῶν τεταρτημορίων τὰ αὐτὰ κατασκευάσωμεν, ἕξομεν εἰς τὴν μείζονα σφαῖραν στερεὸν πολύεδρον καὶ ἀρτιόπλευρον ἐγγεγραμμένον μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας.

Ἐὰν δὴ εἰς ἑτέραν σφαῖραν τῷ ἐν τῇ $B\Gamma\Delta$ σφαίρᾳ στερεῷ πολυέδρῳ ὅμοιον στερεὸν πολύεδρον ἐγγράψωμεν, ἔσται ἑκάστη τῶν πυραμίδων τῶν βάσιν μὲν ἐχουσῶν τὰ $M\Gamma O\Upsilon$, $\Upsilon O\Pi T$, $T\Pi P\Sigma$ καὶ τὸ NOP τρίγωνον, κορυφὴν δὲ τὸ A σημεῖον, ὁμοία τῇ ὁμοταγεῖ πυραμίδι. αἱ δὲ ὅμοιαι πυραμίδες πρὸς ἀλλήλας τριπλασίονα λόγον ἔχουσιν ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν. ἑκάστη ἄρα τῶν πυραμίδων τῶν βάσιν τῶν βάσιν μὲν ἐχουσῶν τὰ $M\Gamma O\Upsilon$, $\Upsilon O\Pi T$, $T\Pi P\Sigma$ τετράπλευρα καὶ τὸ $N\Sigma P$ τρίγωνον, κορυφὴν δὲ τὸ A σημεῖον, πρὸς ἑκάστην τῶν ὁμοταγῶν πυραμίδων τριπλασίονα[1]) λόγον ἔχει ἤπερ ἡ ΓA πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας. καὶ ὅλον ἄρα τὸ πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓA πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας. ὡς δὲ ἡ ΓA πρὸς τὴν ἐκ τοῦ κέντρου τῆς ἑτέρας σφαίρας, οὕτως ἡ $\Gamma\Delta$ πρὸς τὴν διάμετρον τῆς ἑτέρας σφαίρας. καὶ ὅλον ἄρα τὸ πολύεδρον πρὸς ὅλον τὸ πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ $\Gamma\Delta$ πρὸς τὴν διάμετρον τῆς σφαίρας: ~

Αἱ σφαῖραι πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν διαμέτρων. 17

ἔστωσαν σφαῖραι αἱ $AB\Gamma$, ΔEZ, διάμετροι δὲ τῶν $AB\Gamma$, ΔEZ σφαιρῶν ἔστωσαν αἱ $B\Gamma$, EZ. λέγω, ὅτι ἡ $AB\Gamma$ σφαῖρα πρὸς τὴν ΔEZ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ η $B\Gamma$ πρὸς τὴν EZ.

1) Corr. ex τριπλάσια m. 1.

εἰ γὰρ μὴ ἔχει ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ, ἕξει ἄρα ἡ ΑΒΓ σφαῖρα ἤτοι πρὸς ἐλάσσονά τινα σφαῖραν τῆς ΔΕΖ ἢ πρὸς μείζονα τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἐχέτω πρότερον πρὸς ἐλάσσονα τὴν ΗΘΚ, καὶ νενοήσθω ἡ ΔΕΖ τῇ ΗΘΚ περὶ τὸ αὐτὸ κέντρον, καὶ δύο σφαιρῶν περὶ τὸ αὐτὸ κέντρον οὐσῶν τῶν ΔΕΖ, ΗΘΚ εἰς τὴν μείζονα σφαῖραν τὴν ΔΕΖ στερεὸν πολύεδρον ἐγγεγράφθω μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας τῆς ΗΘΚ κατὰ τὴν ἐπιφάνειαν, καὶ ἐγγεγράφθω εἰς τὴν ΑΒΓ σφαῖραν τῷ ἐν τῷ ΔΕΖ στερεῷ πολυέδρῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν πολύεδρον. τὸ ἄρα ἐν τῇ ΑΒΓ σφαίρᾳ στερεὸν πολύεδρον πρὸς τὸ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύεδρον τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἔχει δὲ καὶ ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΗΘΚ τριπλασίονα λόγον ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἔστιν ἄρα ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΗΘΚ σφαῖραν, οὕτως τὸ ἐν τῇ ΑΒΓ στερεὸν πολύεδρον. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒΓ σφαῖρα πρὸς τὸ ἐν αὐτῇ πολύεδρον, οὕτως ἡ ΗΘΚ σφαῖρα πρὸς τὸ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεὸν πολύεδρον. μείζων δὲ ἡ ΑΒΓ σφαῖρα τοῦ ἐν αὐτῇ πολυέδρου. μείζων ἄρα καὶ ἡ ΗΘΚ σφαῖρα τοῦ ἐν τῇ ΔΕΖ σφαίρᾳ στερεοῦ πολυέδρου. ἀλλὰ καὶ ἐλάσσων· ἐμπεριέχεται γάρ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ΒΓ σφαῖρα πρὸς ἔλασσόν τινα τῆς ΔΕΖ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ.

λέγω δή, ὅτι οὐδὲ ἡ ΑΒΓ σφαῖρα πρὸς μεῖζόν *τινα τῆς ΔΕΖ τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.*

εἰ γὰρ δυνατόν, ἡ ΑΒΓ σφαῖρα πρὸς μείζονα λόγον ἐχέτω τῆς ΔΕΖ σφαίρας πρὸς τὴν Λ ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἀνάπαλιν ἄρα ἡ Λ σφαῖρα πρὸς τὴν ΑΒΓ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ. ὡς δὲ ἡ Λ σφαῖρα πρὸς τὴ ΑΒΓ σφαῖραν, οὕτως ἡ ΔΕΖ σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας. καὶ ἡ ΔΕΖ ἄρα σφαῖρα πρὸς ἐλάσσονά τινα τῆς ΑΒΓ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΕΖ πρὸς τὴν ΒΓ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ΑΒΓ σφαῖρα πρὸς μείζονά τινα τῆς ΔΕΖ σφαίρας τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἐδείχθη δέ, ὅτι οὐδὲ πρὸς ἐλάσσονα. ἡ ΑΒΓ σφαῖρα πρὸς τὴν ΔΕΖ σφαῖραν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.

Εὐκλείδου στοιχείων[1]) $\overline{\iota\beta}$.

---

1) Infra add. *στερεῶν*.

BIBLIOTHECA GRAECA

VIRORUM DOCTORUM OPERA

RECOGNITA ET COMMENTARIIS INSTRUCTA

CURANTIBUS

FR. JACOBS ET VAL. CHR. FR. ROST.

LIPSIAE IN AEDIBUS B. G. TEUBNERI.

Bedeutend ermässigte Preise.

Erschienen sind bis jetzt:

	ℳ	₰
Aeschinis in Ctesiphontem oratio ed. *Weidner*	3.	60
Aeschyli Agamemno ed. *R. Enger*	3.	75
Aristophanis Nubes ed. *Teuffel*. Ed. II.	1.	20
Delectus epigramm. Graec. ed. *Jacobs*	1.	80
Demosthenis concione ed. *H. Sauppe*. Sect. I. (cont. Philipp. I. et Olynthiacae I—III.) Ed. II.	1.	—
Euripidis tragoediae ed. *Pflugk* et *Klotz*. Vol. I, II et III. Sect. I—III.	14.	70
Einzeln:		
Vol. I. Sect. 1. Medea. Ed. III.	1.	50
„ I. „ 2. Hecuba. Ed. III. ed. *Wecklein*	1.	20
„ I. „ 3. Andromacha. Ed. II.	1.	20
„ I. „ 4. Heraclidae. Ed. II	1.	20
„ II. „ 1. Helena. Ed. II	1.	20
„ II. „ 2. Alcestis. Ed. II	1.	20
„ II. „ 3. Hercules furens Ed. II. cur. *Wecklein*	1.	80
„ II. „ 4. Phoenissae. Ed. II. cur. *Wecklein*	2.	25
„ III. „ 1. Orestes	1.	20
„ III. „ 2. Iphigenia Taurica	1.	20
„ III. „ 3. Iphigenia quae est Aulide	1.	20
Hesiodi carmina ed. *Goettling* et *Flach*. Ed. III.	6.	60
Homeri Ilias ed. *Spitzner*. Sect. I—IV	4.	50
Einzeln:		
Sect. I. lib. 1—6	—	90
Sect. II. lib. 7—12	—	90
Sect. III. lib. 13—18	1.	35
Sect. IV. lib. 19—24	1.	35
Lysiae et Aeschinis orationes selectae ed. *Bremi*	1.	50
Lysiae orationes selectae ed. *Bremi*	—	90
Pindari carmina cum deperditarum fragm., variet. lect. adi. et comment. illustr. *L. Dissen*. Ed. II. cur. *Schneidewin*. Vol. I.	3.	90
—— Vol. II. Sect. I. II. (Comment. in Olymp. et Pyth.) (à 1 ℳ 50 ₰.)	3.	—
Platonis opera omnia ed. *Stallbaum* X voll. (21 Sectiones.)		
Einzeln:		
Vol. I. Sect. 1. Apologia Socratis et Crito. Ed. *Wohlrab*	2.	40
Vol. I. Sect. 2. Phaedo. Ed. V. cur. *Wohlrab*	2.	70
Vol. I. Sect. 2. Symposium c. ind. Ed. III. Vergr.	2.	25
Vol. II. Sect. 1. Gorgias. Ed. III	2.	40
Vol. II. Sect. 2. Protagoras c. ind. Ed. IV. ed. *Kroschel*	2.	40
Vol. III. Politia sive de republica libri decem. 2 voll. Ed. II. [Vrgr.]	7.	50
Vol. III. Sect. 1. Politia lib. I—V	4.	20
Vol. III. Sect. 2. lib. VI—X	3.	30
Vol. IV. Sect. 1. Phaedrus. Ed. II	2.	40
Vol. IV. Sect. 2. Menexenus, Lysis, Hippias uterque, Io. Ed. II	2.	70
Vol. V. Sect. 1. Laches, Charmides, Alcibiades I. II. Ed. II	2.	70
Vol. V. Sect. 2. Cratylus cum. ind.	2.	70
Vol. VI. Sect. 1. Euthydemus	2.	10
Vol. VI. Sect. 2. Meno et Euthyphro itemque incerti scriptoris Theages, Erastae, Hypparchus. [Vergr.]	4.	20
Vol. VII. Timaeus et Critias. [Vergriffen.]	5.	40

	ℳ ₰
Platonis opera omnia ed. *Stallbaum.*	
Einzelnen:	
Vol. VIII. Sect. 1. Theaetetus. Ed. II. rec. *Wohlrab*	3. —
Vol. VIII. Sect. 2. Sophista . .	2. 70
Vol. IX. Sect. 1. Politicus et incerti auctoris Minos	2. 70
Vol. IX. Sect. 2. Philebus . . .	2. 70
Vol. X. Sect. 1. Leges. Vol. I. lib. I—IV	3. 60
Vol. X. Sect. 2. lib. V—VIII . .	3. 60
Vol. X. Sect. 3. lib. IX—XII et Epinomis	3. 60
Sophoclis tragoediae ed. *Wunderus.* 2 voll.	9. 90
Einzeln:	
Vol. I. Sect. 1. Philoctetes. Ed. IV ed. *Wecklein*	1. 50
Vol. I. Sect. 2. Oedipus Rex. Ed. V ed. *Wecklein*	1. 50
Vol. I. Sect. 3. Oedipus Coloneus. Ed. III	1. 80
Vol. I. Sect. 4. Antigona. Ed. V ed. *Wecklein*	1. 50
Vol. II. Sect. 1. Electra. Ed. III	1. 20
Vol. II. Sect. 2. Aiax. Ed. III .	1. 20
Vol. II. Sect. 3. Trachiniae. Ed. II	1. 20

	ℳ ₰
Thucydidis de bello Peloponnesiaco libri VIII ed. *Poppo.*	
Einzeln:	
Vol. I. Sect. 1. Lib. I. Ed. II .	3. —
Vol. I. Sect. 2. Lib. II. Ed. II .	2. 25
Vol. II. Sect. 1. Lib. III. Ed. II ed. *J. M. Stahl*	2. 40
Vol. II. Sect. 2. Lib. IV. Ed. II ed. *J. M. Stahl*	2. 70
Vol. III. Sect. 1. Lib. V. Ed. II ed. *J. M. Stahl*	2. 40
Vol. III. Sect. 2. Lib. VI. Ed. II ed. *J. M. Stahl*	2. 40
Vol. IV. Sect. 1. Lib. VII. Ed. II. ed. *J. M. Stahl*.	2. 70
Vol. IV. Sect. 2. Lib. VIII. Ed. II ed. *Stahl*.	2. 70
Xenophontis Cyropaedia ed. *Bornemann.* [Vergriffen.]	1. 50
—— **Memorabilia** ed. *Kühner.* Ed. II	2. 70
—— **Anabasis** ed. *Kühner*	3. 60
Einzeln à 1 ℳ 80 ₰.	
Sect. I. lib. I—IV.	
Sect. II. lib. V—VIII.	
—— **Oeconomicus** ed. *Breitenbach*	1. 50
—— **Agesilaus** ed. *Breitenbach* . .	1. 20
—— **Hiero** ed. *Breitenbach*	— 75
—— **Hellenica,** Sect. I. (lib. I. II.) ed. *Breitenbach.* Ed. II	1. 80
—— —— Sect. II. (lib. III—VII.) ed. *Breitenbach*	4. 80